κῆσαι δὲ οὐ θνητῇ γυναικὶ αὐτὸν, ἀλλὰ νύμφῃ Δρυάδι
ἔλεγον· Δρυάδας γὰρ δὴ καὶ Ἐπιμηλιάδας [5] τὰς δὲ αὐ-
τῶν ἐκάλουν Ναΐδας, καὶ Ὁμήρῳ γε ἐν τοῖς ἔπεσι [6] ναΐ-
δων Νυμφῶν μάλιστά ἐστι μνήμη. τὴν δὲ νύμφην ταύ-
την καλοῦσιν Ἐρατώ, καὶ ἐκ ταύτης φασὶν Ἀρκάδι Ἀζᾶνα [7]
καὶ Ἀφείδαντα [8] γενέσθαι καὶ Ἔλατον· ἐγεγόνει δὲ αὐτῷ
3 πρότερον ἔτι Αὐτόλαος νόθος. τοῖς δὲ παισὶν ὡς ηὐξή-
θησαν διένειμεν Ἀρκὰς τριχῇ τὴν χώραν, καὶ ἀπὸ μὲν
Ἀζᾶνος [9] ἡ Ἀζανία μοῖρα ὠνομάσθη· παρὰ τούτων δὲ [10]
ἀποικισθῆναι λέγουσιν ὅσοι περὶ τὸ ἄντρον [11] ἐν Φρυγίᾳ
τὸ καλούμενον Στεῦνος καὶ Πέγκαλαν [12] ποταμὸν οἰκοῦ-
σιν. Ἀφείδας δὲ Τεγέαν [13] καὶ τὴν προσεχῆ ταύτης ἔλαχεν·
ἐπὶ τούτῳ δὲ καὶ ποιηταὶ καλοῦσιν Ἀφειδάντειον [14] κλῆρον
4 τὴν Τεγέαν. Ἔλατος δὲ ἔσχε [15] τὸ ὄρος τὴν Κυλλήνην,

buisse vero illum uxorem non mortalem foeminam, sed unam e Dryadibus Nymphis tradunt. Dryadas enim ipsi suas nymphas et Epimeliadas, nonnullas etiam Naidas patria voce appellitant; Homerus etiam Naidas crebro nominat. Eius vero Nymphae, quae cum Arcade nupta fuit, Erato nomen fuisse memoriae prodiderunt. Ex ea genitos Arcadi Azana, Aphidanta, Elatum; ante nuptias Autolaum suscepisse nothum. Ac filiis quidem adultis regnum trifariam divisit. Ab Azane itaque Azania quae ei evenit pars appellata; ex qua deducti colonia ii omnes qui circa Phrygiae antrum, cui Steunos nomen et amnem Pencalam habitant. Aphidas Tegeam et quae adiacent sortitus est. Hinc poetae Tegeam solent Aphidanteam sortem nuncupare. At Elatus montem quae Cyllene nunc vocatur ob-

5. Ἐπιμηλίδας Smin.; placet Bekkero. Deinde τὰς δὲ αὐτῶν, recepimus coniecturam B; τὰς ἑαυτῶν edd. codd.; pro ἑαυτῶν Sylb. vult ἑτέρων; Bergler ad Alciphr. III, 11. post ἐκάλουν inserit καί; lacunam inter ἐκάλουν et Ναΐδας indicat Smai.

6. ἔπεσιν MLa. — v. g. Hom. Od. XIII, 104.

7. ἀρκαδία ζόνα MVaR; ἀρκαδία ζάνα Lb; γρ. ἀλλ. ἀρκάδι ἀζᾶννα R marg.; ἀζάνα La.

8. ἀφείδαν Lb. — ἔλαττον Va La.

9. ἄζανος MVaLab; tum καὶ pro ἡ Va; seq. μοῖρα om. MVa. — ὀνομάσθη MVa.

10. παρὰ δὲ τούτ. VaLb, quod non displicet.

11. τὸν ἄντρον Ag.

12. πάγκαλαν Va; cf. X, 32, 8.

13. Τεγέαν constanter SB; Τέγεαν edd. rell. MVaLb; variat La. Mox ταύτης BMVabPcAgLab; ταύτῃ edd. rell.

14. ἀφειδάντεον Am. MVabPcAg Lab.

15. ἔσχεν AgLa.

ἔτι τότε οὖσαν ἀνώνυμον· χρόνῳ δὲ ὕστερον μετῴκησεν
ὁ Ἔλατος ἐς τὴν νῦν καλουμένην Φωκίδα, καὶ τοῖς τε
Φωκεῦσιν ἤμυνεν ὑπὸ Φλεγυῶν[16] πολέμῳ πιεζομένοις
καὶ Ἐλατείας πόλεως ἐγένετο οἰκιστής. (3) Παῖδα δὲ 605
Ἀζᾶνι[17] μὲν Κλείτορα, Ἀφείδαντι δὲ Ἀλεόν, Ἐλάτῳ δέ
φασιν εἶναι πέντε, Αἴπυτον, Περέα, Κυλλῆνα, Ἴσχυν,
Στύμφηλον.[18] ἐπὶ δὲ[19] Ἀζᾶνι τῷ Ἀρκάδος τελευτήσαντι 5
ἆθλα ἐτέθη πρῶτον· εἰ μὲν καὶ ἄλλα, οὐκ οἶδα, ἱππο-
δρομίας δὲ ἐτέθη. Κλείτωρ[20] μὲν δὴ ὁ Ἀζᾶνος ἐν Λυ-
κοσούρᾳ τε ᾤκει καὶ ἦν τῶν[21] βασιλέων δυνατώτατος,
καὶ Κλείτορα ᾤκισεν ἀφ' αὑτοῦ[22] πόλιν· Ἀλεὸς δὲ εἶχε
τὴν πατρῴαν λῆξιν. ἀπὸ δὲ Ἐλάτου τῶν παίδων Κυλ- 6
λήνην τὸ ὄρος καλοῦσιν ἀπὸ Κυλλῆνος, καὶ ἀπὸ Στυμ-
φήλου πηγή τε ὀνομάζεται καὶ πόλις Στύμφηλος[23] ἐπὶ
τῇ πηγῇ, τὰ δὲ ἐς τὸν θάνατον Ἴσχυος τοῦ Ἐλάτου πρό-
τερον ἔτι ἐν τῇ συγγραφῇ τῇ Ἀργολίδι ἐδήλωσα. παῖδα

tinuit; tunc nondum ei nomen inditum fuerat. Is postea in eam terram inde abiit cui Phocis nunc nomen est, quumque Phocenses cum Phlegyis minus aequo certamine bellantes armis iuvisset in eorum finibus de suo nomine oppidum Elateam munivit. (3) Filium Azani fuisse Clitorem, Aphidanti Aleum; quinque Elato genitos memorant, Aepytum, Pereum, Cyllena, Ischyn, Stymphalum. Azani vitae muneribus perfuncto ludi funebres primum facti; haud scio an et alii ludi, de equiriis certe affirmare possum. Clitor Lycosurae regiam constituit, et sane fuit regum (ut illis temporibus) omnium potentissimus urbemque Clitora de suo nomine condidit. Aleus paternam obtinuit sortem. Quod vero ad Elati filios pertinet a Cyllene mons nomen accepit, a Stymphalo fons et urbs ad fontem sita Stymphalus. De Ischyis vero Elati filii morte egimus dum

16. *Φλεγυαῶν* Sylb. SBAg; *Φλεγύων* edd. rell. Lab. — *πιεζουμένοις* AgLa.

17. *ἀζάνι* MVabLab. — *Ἄλεον* constanter Smin. La; variat Lb. — *ἐλάττῳ* La; idem om. seq. *πέντε*. Tum *αἴτυπον* et *κυλλήνα* La.

18. *ἰσχὺν* M; *ἴσχην* Lab. — *σύμφηλον* MLb.

19. *δὲ* om. MVaLb. — *ἀζάνι* Vab. — *τὸ ἀρκ.* MVa; *τῷ φαρκάδος* Vb.

20. *κλήτωρ* Vb. — *ἀζάνος* Va.

21. *τῶν* om. Va. — *κλείτωρα* Ag Lab. — *ᾤκισεν* Am. XKFCSBPc AgLa; *ᾤκησεν* AMVabLb.

22. *ἀφ' αὐτοῦ* SB; *ἀπ' αὐτοῦ* edd. rell. MVabPcAgLab.

23. *στύμφυλος* Vb. — *ἰσχύος* M Lab.

δὲ Περεῖ[24] ἄῤῥενα μὲν φασιν οὐδένα, Νέαιραν δὲ γενέ-
σθαι θυγατέρα· ταύτην γυναῖκα ἔσχεν Αὐτόλυκος, οἰ-
κῶν μὲν ἐν τῷ ὄρει τῷ Παρνασῷ,[25] λεγόμενος δὲ Ἑρ-
μοῦ παῖς εἶναι, Δαιδαλίωνος δὲ ὢν τῷ ἀληθεῖ λόγῳ.
7 (4) Κλείτορι[26] δὲ τῷ Ἀζᾶνος οὐ γενομένων παίδων ἐς
Αἴπυτον Ἐλάτου περιεχώρησεν ἡ Ἀρκάδων βασιλεία. τὸν
δὲ Αἴπυτον ἐξελθόντα ἐς ἄγραν θηρίων μὲν τῶν ἀλκιμω-
τέρων οὐδὲν, σὴψ δὲ οὐ προϊδόμενον ἀποκτίννυσι.[27]
τὸν δὲ ὄφιν τοῦτον καὶ[28] αὐτός ποτε εἶδον· κατὰ ἔχιν
ἐστὶ τὸν μικρότατον, τέφρᾳ ἐμφερὴς, στίγμασιν οὐ συν-
εχέσι πεποικιλμένος· κεφαλὴ δέ ἐστιν αὐτῷ πλατεῖα καὶ
τράχηλος στενὸς, γαστέρα δὲ[29] ἔχει μείζονα καὶ οὐρὰν
606 βραχεῖαν· βαδίζει δὲ οὗτός τε καὶ ὄφις ἕτερος ὁ κερά-
στης καλούμενος ἐνδιδόντες[30] ἐς τὰ πλάγια, ὥσπερ οἱ
8 καρκίνοι. (5) Μετὰ δὲ Αἴπυτον ἔσχεν Ἀλεὸς τὴν ἀρχήν·
Ἀγαμήδης μὲν γὰρ καὶ Γόρτυς[31] οἱ Στυμφήλου τέταρτον

res Argolicas exponeremus. At Pereo nullam fuisse virilem prolem aiunt; filiam habuisse Neaeram, quam Autolycus Parnasi montis incola uxorem duxerit. Mercurii is filius dicebatur, quum re ipsa Daedalionis esset. (4) Atenim quum Clitor Azanis filius nullos reliquisset liberos ad Aepytum Elati filium Arcadum regnum pervenit. Hunc venatum egressum non ferocior aliqua bellua, sed incautum seps confecit. Vidi et ipse aliquando serpentem hanc; magnitudine est minimae viperae, cineris colore, notis interpuncta variis, capite lato, gracili collo, alvo obesiore, perbrevi cauda. In serpentum genere sepset cerastes quo ferme modo gradiuntur cancri in obliquum repunt. (5) Aepyto in imperium succedit Aleus. Nam Agamedes et Gortys filii Stymphali quarto posteritatis gradu ab Arcade abe-

24. σπερεῖ MAgLbR; hic περεῖ ad marg. — θυγατέραν Vb.

25. Παρνασῷ AMVab; geminato σ XKFCSBLab; praecedens τῷ ὄρει om. La, quo haud aegre caremus. — δαιδαλίων Va.

26. κλείτωρι Va; seq. δὲ om. Ag. — τοῦ pro τῷ MVaAgLab. — ἀζάνος Va. — εἰς Va.

27. ἀποκτίννυσι SB; ἀποκτείννυσι edd. rell. Lab; ἀποκτείνυσιν Ag; ἀποκτείνουσιν M; ἀποκτείνεισι, υ sup. ει, Vb; ἀποκτείνει Va; ἀποκτέννυσι vel ἀποκτίννυσι Sylb.

28. καὶ om. La. — τέμφρᾳ M; in Va μ sup. vers. — κεφαλὴν La.

29. δὲ om. Vb; pro eo τε habent MLb. — μείονα, ζ sup. vers. Va. — βαδίζειν Vb. — κεραστὶς La.

30. ἐνδιδόντος MVaLb. — καρκῖνοι MVbLb.

31. γόρτις Vb. — οἱ Am. Sylb. KFCSB; ὁ AXMVabPcAgLab.

γένος ἦσαν ἀπὸ Ἀρκάδος, Ἀλεὸς δὲ τρίτον[32] ὁ Ἀφείδαν-
τος. Ἀλεὸς δὲ τῇ τε Ἀθηνᾷ τῇ Ἀλέᾳ τὸ ἱερὸν ᾠκοδόμη-
σεν ἐν Τεγέᾳ τὸ ἀρχαῖον καὶ αὑτῷ κατεσκευάσατο αὐτόθι
ἡ βασιλεία. Γόρτυς δὲ ὁ Στυμφήλου πόλιν Γόρτυνα[33]
ᾤκισεν ἐπὶ τῷ ποταμῷ· καλεῖται δὲ Γορτύνιος καὶ ὁ πο-
ταμός. (6) Ἀλεῷ δὲ ἄρσενες μὲν παῖδες Λυκοῦργός τε
καὶ Ἀμφιδάμας καὶ Κηφεὺς, θυγάτηρ δὲ ἐγένετο Αὔγη.
ταύτῃ τῇ Αὔγῃ τῷ Ἑκαταίου λόγῳ συνεγένετο[34] Ἡρα- 9
κλῆς, ὁπότε ἀφίκοιτο ἐς Τεγέαν· τέλος[35] δὲ καὶ ἐφωρά-
θη τετοκυῖα ἐκ τοῦ Ἡρακλέους, καὶ αὐτὴν ὁ Ἀλεὸς ἐσθέ-
μενος ὁμοῦ τῷ παιδὶ ἐς λάρνακα ἀφίησιν ἐς θάλασσαν·
καὶ ἡ μὲν ἀφίκετο ἐς Τεύθραντα,[36] δυνάστην ἄνδρα ἐν
Καΐκου πεδίῳ, καὶ συνῴκησεν[37] ἐρασθέντι τῷ Τεύθραντι·
καὶ νῦν ἔστι μὲν Αὔγης μνῆμα ἐν Περγάμῳ τῇ ὑπὲρ τοῦ
Καΐκου,[38] γῆς χῶμα λίθου περιεχόμενον κρηπῖδι, ἔστι
δὲ ἐν τῷ μνήματι ἐπίθημα χαλκοῦ[39] πεποιημένον, γυνὴ

rant, a quo Aleus Aphidantis filius tertius duntaxat numerabatur. Exaedificavit Aleus vetustum illud quod Tegeae visitur Aleae Minervae fanum, ibidemque regiam suam constituit. Gortys vero Stymphali Gortyna urbem ad proximum amnem condidit; amni etiam ipsi fuit Gortinius nomen. (7) Mares habuit liberos Aleus Lycurgum, Amphidamantem et Cepheum: filiam Augen. Cum hac (quod scriptum Hecataeus reliquit) Hercules concubuit quum forte Tegeam venisset. Id ubi ex puerperio filiae rescivit Aleus, puerum cum matre in arcam conclusos in mare abiecit. Delata aestu arca est ad Teuthrantem pollentem dominatu hominem in campis ad Caicum amnem. Is puellae forma allectus sibi matrimonio iunxit. Exstat etiamnum Pergami (quae supra Caicum urbs est) Auges monumentum, terrae tumulus lapidea circumseptus crepidine. Insigne eius tu-

32. τρίτην MVa; δὲ τρίτον — ἄλεον om. La. — ἀμφείδαντος et τεγαίᾳ Ag.

33. γόρτυννα Ag; seq. τῷ addunt VaLa. — ἀφειδάμας καὶ νειφεὺς Ag. — ἐγέν. αὐγὴ, tum ταύτῃ τῇ αὐτῇ La.

34. συνεγίνετο Buttm.; placet.

35. τέος Lb; τέως MVaR; in hoc τέλος in marg. — ἐφοράθη M. — ἄλεος Lb; ἀλέος La.

36. ἐς τεύθραντα, ι sup. α expuncto omissis sequentibus δυνάστην — Τεύθραντι. — Καΐκου FCSBM VaPcAgLab; Καΰκου AXKVb.

37. συνῴκησεν Sylb. FCSB; συνῴκισεν AXK codd.

38. Hoc loco καικοῦ LabM; in hoc υ sup. ι. — κροπῖδι Ag; κρηπίδι Lb.

39. χαλκοῦ Sylb. SB; χαλκοῦν edd. rell. MVaPcLab; e VbAg nihil enotavimus.

γυμνή. (7) *Μετὰ δὲ Ἀλεὸν τελευτήσαντα Λυκοῦργος ὁ Ἀλεοῦ τὴν βασιλείαν πρεσβεία*[40] *ἔσχε· παρέσχετο δὲ ἐς μνήμην Ἀρηΐθοον,*[41] *ἄνδρα πολεμικὸν, δόλῳ καὶ οὐ σὺν τῷ δικαίῳ κτείνας. γενομένων δὲ αὐτῷ παίδων Ἀγκαίου τε καὶ Ἐπόχου τὸν μὲν νοσήσαντα*[42] *ἐπιλαμβάνει τὸ χρεὼν, Ἀγκαῖος δὲ Ἰάσονί τε τοῦ πλοῦ μετέσχεν ἐς Κόλχους, καὶ ὕστερον ὁμοῦ Μελεάγρῳ τὸ ἐν*[43] *Καλυδῶνι κατεργαζόμενος*[44] *θηρίον ἀπέθανεν ὑπὸ τοῦ ὑός. Λυκοῦργος μὲν δὴ ποῤῥωτάτω γήρως ἀφίκετο ἐπιδὼν τοὺς παῖδας ἀμφοτέρους τελευτήσαντας.*

muli nuda mulier ex aere fabricata. (7) Aleo mortuo regnat Lycurgus eius liberum natu maximus. Is nihil ad memoriam aliud edidit facinus, quam quod Arethum hominem bellica virtute clarum non aequo marte, sed dolo perculit. Filios habuit duos, Ancaeum et Epochum. Epochus morbo est absumtus; Ancaeus quum expeditionis Colchicae particeps fuisset, ac deinde Meleagro in oppugnatione Calydonii apri operam navaret suam, ab eadem stratus bellua occubuit. Lycurgus quidem ipse exacta iam aetate utroque orbatus filio diem suum obiit.

40. *πρεσβεῖα* ABAgLa; *πρεσβείᾳ* edd. rell. Lb. — *ἔσχεν* Ag. — *παρέχετο* VabLa.

41. *Ἀρηΐθοον* SB; *Ἀρηΐθον* C; *ἄρκτον* Va; *ἄρεθεν* Vb; *ἄρηθεν* La; *ἄρηθον* edd. rell. PcAgLb. Cf. c. II, 4. Hom. Il. VII, 137 sq. — *δήλῳ* Ag.

42. *νοσήσασαν* M.

43. *τῷ ἐν* MVaLb.

44. Annon *κατεργασόμενος*?

CAPUT V.

Echemo Arcadiae regnum obtinente Dorienses Peloponnesum ingrediuntur et fugantur — Agapenor rex Arcadas ad Troiam ducit et Paphum condit — de Hippothoo et Aepyto, Arcadiae regibus — Cypselo regnante Dorienses Peloponnesum navibus invadunt — de Cypseli posteris — Polymestore regnante Lacedaemonii Tegeatarum fines invadunt — Aechmide regnante bellum Messenicum geritur — Aristocratis regis nefandum facinus — de Aristocrate, prioris Aristocratis nepote.

Λυκούργου[1] *δὲ ἀποθανόντος, Ἔχεμος ὁ Ἀερόπου τοῦ Κηφέως τοῦ Ἀλεοῦ τὴν Ἀρκάδων ἔσχεν ἀρχήν. ἐπὶ τούτου*[2] *Δωριεῖς κατιόντας ἐς Πελοπόννησον* 607
ὑπὸ ἡγεμόνι Ὕλλῳ τῷ Ἡρακλέους Ἀχαιοὶ περὶ ἰσθμὸν τὸν[3] *Κορινθίων κρατοῦσι μάχῃ, καὶ Ἔχεμος ἀποκτίννυσιν*[4] *Ὕλλον μονομαχήσαντά οἱ κατὰ πρόκλησιν. τάδε γάρ ἐφαίνετο εἰκότα εἶναί μοι μᾶλλον ἢ ὁ πρότερος λόγος, ἐν ᾧ βασιλεύειν τε Ἀχαιῶν τηνικαῦτα Ὀρέστην ἔγραψα,*[5] *καὶ Ὕλλον Ὀρέστου βασιλεύοντος ἀποπειρᾶσαι*[6] *καθόδου τῆς*

Cap. V. Post Lycurgum Arcadum regnum ad Echemum pervenit Aeropi filium, Cephei nepotem, Alei pronepotem. Hoc regnante Achaei Dorienses ad Isthmum Corinthiorum proelio fuderunt, reditum sibi in Peloponnesum Hyllo Herculis filio duce molientes. In ea pugna Echemus Hyllum occidit cum eo singulari certamine ex provocatione congressus. Haec mihi propiora vero visa sunt, quam quod a supra scriptum reliqui, penes Orestem tunc Achaeorum regnum fuisse, atque eius maxime temporibus Hyllum cum Doriensibus reditum tentasse. Si maior habeatur hoc modo expositae

Cap. V. 1. *Λυκούργου — ἔσχεν ἀρχήν* plerumque capiti 4 adnectunt; nos cum B ad cap. 5 retulimus. — *ἀρόπου* Lb.

2. *τούτου* Sylb. CSBVb(?)PcdAgLab; *τούτῳ* edd. rell. MVa. — *κατειόντας* La; *κατειόντες* Ag. — *ὕλῳ* Vb.

3. *τὸν* Sylb. Smin. BAg(?); *τῶν* edd. rell. MVabPcLab.

4. *ἀποκτίννυσιν* Sylb. SB; *ἀποκτείννυσιν* edd. rell. AgLab; *ἀποκτείνυσιν* MVa; *ἀποκτείνουσι* Vb. — *ὕλλων* M; *ὕλην* La.

5. *ἔγραψα* Pors. SBMVa; respicit ad I, 41, 2.; *ἔγραψαν* Am. edd. rell. VbPcAgLab; seq. *καὶ* om. Ag, unde perspicimus *ἔγραψαν* nihil aliud esse quam *ἔγραψα* adhaerente *καί*. Tum *καὶ* quod post *Ὕλλον* habent AXKF codd expungendum putat F, uncis notat Smai.; in *ἐπὶ* mutant Sylb. Smin. (S praeterea *τοῦ* coniicit); nos cum CB delevimus. Particula enim a praecedente *ἔγραψα(ν)* absorpta, alia opus erat copula, quae margini adscripta in contexta recepta est loco alieno.

6, *ἀποπειρᾶσθαι* Pors. — *φαίνοι* Ag. — *τίμανδρα* et *τηνδάρεω* La.

*ἐς Πελοπόννησον. φαίνοιτο δ' ἂν τῷ ὑστέρῳ τῶν λό-
γων καὶ Τιμάνδρα συνοικήσασα ἡ Τυνδάρεω τῷ ἀποκτεί-*
2 *ναντι Ὕλλον Ἐχέμῳ.* (2) *Ἀγαπήνωρ δὲ ὁ Ἀγκαίου τοῦ
Λυκούργου*[7] *μετὰ Ἔχεμον βασιλεύσας ἐς Τροίαν ἡγήσατο
Ἀρκάσιν. Ἰλίου δὲ ἁλούσης ὁ τοῖς Ἕλλησι κατὰ τὸν
πλοῦν τὸν οἴκαδε ἐπιγενόμενος χειμὼν Ἀγαπήνορα καὶ τὸ
Ἀρκάδων ναυτικὸν κατήνεγκεν ἐς Κύπρον· καὶ Πάφου
τε Ἀγαπήνωρ ἐγένετο οἰκιστὴς καὶ τῆς Ἀφροδίτης κατε-
σκευάσατο ἐν Παλαιπάφῳ*[8] *τὸ ἱερόν· τέως δὲ ἡ θεὸς*
3 *παρὰ Κυπρίων τιμὰς εἶχεν ἐν Γολγοῖς*[9] *καλουμένῳ χωρίῳ.
χρόνῳ δὲ ὕστερον Λαοδίκη*[10] *γεγονυῖα ἀπὸ Ἀγαπήνορος*[11]
*ἔπεμψεν ἐς Τεγέαν τῇ Ἀθηνᾷ τῇ Ἀλέᾳ πέπλον· τὸ δὲ ἐπὶ
τῷ ἀναθήματι ἐπίγραμμα καὶ αὐτῆς Λαοδίκης ἅμα ἐδήλου
τὸ γένος·*

Λαοδίκης ὅδε[12] *πέπλος· ἑᾷ δ' ἀνέθηκεν Ἀθηνᾷ
Πατρίδ' ἐς εὐρύχορον*[13] *Κύπρου ἄπο ζαθέας.*

rei ratio,] credendum illud etiam est apud Echemum, a quo Hyllus occisus, matrimonii causa Timandram fuisse Tyndarei filiam. (2) Agapenor dehinc regnat, Ancaei filius, Lycurgi nepos; quo duce Arcades ad Troianum bellum profecti. Ilio vero everso, quae Graecos domum redeuntes disiecit tempestas Arcadum classem ab instituto navigationis cursu Cyprum avertit. Ibi Agapenor Paphum urbem coloniam deduxit; et in Papho vetere (Palaepapho) Veneris fanum erexit, quum ante apud Cyprios dea haec in oppido cui Golgi nomen coleretur. Interiecto dein tempore Laodice ex Agapenoris posteritate Aleae Minervae donum Tegean peplum misit; id ipsius doni inscriptio et simul unde esset Laodice oriunda indicabat:

Laodices peplum hoc. Sacrum ut foret illa Minervae
E Cypro celebrem transtulit in patriam.

7. *τοῖς λυκούργοις*, compendio male lecto, La. — *ἔχετον* AVb et marg. R. — *ἀρκᾶσιν* M, saepius. — *ἰδίου* pro *Ἰλίου*, et *σάφου* pro *Πάφου* La.

8. *ἐν Παλαιπάφῳ* BöckhSBPcAg Va; *ἐν πάλαι πάφῳ* MLbR; *ἐν πόλει Πάφῳ* edd. rell. Vb et R marg.; *ἐν πόλει σάφῳ* La. Cf. Strab. XIV, 683. (vol. V, p. 745 Tz.), qui Paphum urbem ab Agenore conditam distinguit a Palaepapho terrestri itinere stadiorum 60 dissita. — *ἡ θεὸν* La.

9. *Γολγοῖς* Sylb. SBPc(?)Ag; *Γόλγοις* edd. rell. Lab.

10. *λαγοδίκη* MVab.

11. *ἀγαστήνορος* Ag; *ἀπήνορος* Lb. — *ἐς τὸ γέαν* et *πέπλην* La.

12. *δὲ ὅδε* Ag. — *ἑᾷ* Lab.

13. *εὐρύχωρον* MVabAg et omisso praecedente *ἐς* Lb. — *ἄπο* SB; *ἀπὸ* edd. rell. Lab.

(3) Ἀγαπήνορος[14] δὲ οὐκ ἀνασωθέντος οἴκαδε ἐξ Ἰλίου, 4
παρέλαβε τὴν ἀρχὴν Ἱππόθους Κερκύονος[15] τοῦ Ἀγαμή-
δους τοῦ Στυμφήλου. καὶ τῷ μὲν[16] ἐπιφανὲς συμβῆναι
παρὰ τὸν βίον φασὶν οὐδὲν πλὴν ὅσον οὐκ ἐν Τεγέᾳ τὴν
βασιλείαν κατεστήσατο ἀλλὰ ἐν Τραπεζοῦντι· Αἴπυτος[17]
δὲ ὁ Ἱππόθου μετὰ τὸν πατέρα ἔσχε τὴν ἀρχήν, καὶ
Ὀρέστης ὁ Ἀγαμέμνονος κατὰ μαντείαν τοῦ ἐν Δελφοῖς
Ἀπόλλωνος μετῴκησεν[18] ἐς Ἀρκαδίαν ἐκ Μυκηνῶν. Αἰ- 5 608
πύτῳ δὲ[19] τῷ Ἱππόθου παρελθεῖν ἐς τὸ ἱερὸν τοῦ Πο-
σειδῶνος τὸ ἐν Μαντινείᾳ τολμήσαντι (ἔσοδος δὲ ἀνθρώ-
ποις[20] οὔτε τότε ἐς αὐτὸ ἦν οὔτε ἄχρι ἡμῶν ἔστιν[21])
ἐς τοῦτο ἐσελθόντι τυφλωθῆναι καὶ οὐ μετὰ πολὺ τῆς
συμφορᾶς τελευτῆσαί οἱ τὸν βίον ἐγένετο. (4) Κυψέλου 6
δὲ τοῦ Αἰπύτου βασιλεύοντος[22] μετὰ Αἴπυτον ὁ Δωριέων
στόλος οὐ διὰ τοῦ Κορινθίων ἰσθμοῦ, καθὰ ἐπὶ τρεῖς
τὰς πρότερον γενεάς, ναυσὶ δὲ κατὰ τὸ ὀνομαζόμενον
Ῥίον[23] κάτεισιν ἐς Πελοπόννησον. Πυνθανόμενός τε[24]

(3) Quum ad suos non revertisset Agapenor suscepit Arcadum imperium Hippothous Cercyone patre, avo Agamede, Stymphalo proavo genitus. Huius vita nullo celebratur insigni rerum eventu, praeter illud unum quod regni sedem Tegea Trapezuntem transtulit. Hic regnum filio Aepyto per manus tradidit. Et Aepyto quidem regnante Orestes Agamemnonis filius Mycenis oraculi Delphici monitu in Arcadiam demigravit. Aepytus quum in templum Neptuni quod Mantineae est penetrare esset ausus, quo nulli cuiquam homini hac ipsa etiam aetate fas est accedere, oculis primum captus deinde non ita multo post e vita excessit. (4) Eius filio Cypselo regnum adepto Dorienses copiis contractis non ut tribus ante aetatibus per Isthmum, sed classe Rhion promontorium praetervecti in Peloponnesum invaserunt. Forte

14. ἀγαπήνορον M. — οἴκαδε VaAgLab; οἴκαδ' rell. — παρέβαλε τὸν La.

15. Κερκύωνος AXKFCMVaPc Lab.

16. τὸ μὲν Ag. — φασὶν om. Va. ὅσον οὐδ' Ag; ὅσον om. Lb.

17. αἴπυγος Ag.

18. μετῴκισεν MVa.

19. δὲ om. Va.

20. ἀνθρώποις om. Va. — ἄχρις Lab.

21. ἡμῶν ἔτι MVaAg. — ἐς το σοῦτο MVa.

22. βασιλεύσαντος Smai. MVa. — ἐπὶ τρὶς La.

23. ῥεῖον VaAgM (hic ῥείον sec. exc. nostra) Lb; ῥίον Va marg.

24. πυνθ. τε AXKFSmin. BMVab PcAgLab; πυνθ. τὰ CSmai.; πυνθ. δὲ τὰ Sylb.; πυνθ. δὲ coni. F. — ἑαυτοὺς pro ἐς αὐτούς, Pc.

ἐς αὐτοὺς ὁ Κύψελος, ὃν τῶν[25] Ἀριστομάχου παίδων οὐκ ἔχοντά πω γυναῖκα εὕρισκε, τούτῳ τὴν θυγατέρα ἐκδοὺς[26] καὶ οἰκειωσάμενος τὸν Κρεσφόντην αὐτός τε
7 καὶ οἱ Ἀρκάδες ἐκτὸς[27] ἑστήκεσαν δείματος. (5) Ὁλαίας[28] δὲ ἦν Κυψέλου παῖς, ὃς καὶ τῆς ἀδελφῆς τὸν παῖδα Αἴπυτον, σὺν δὲ αὐτῷ καὶ οἱ ἐκ Λακεδαίμονος καὶ Ἄργους Ἡρακλεῖδαι[29] κατάγουσιν ἐς Μεσσήνην· τοῦ δὲ[30] ἦν Βουκολίων, τοῦ δὲ Φίαλος, ὃς τὸν Λυκάονος Φίγαλον[31] οἰκιστὴν ὄντα ἀφελόμενος τὴν τιμὴν Φιαλίαν[32] τὸ ὄνομα τῇ πόλει μετέθετο ἀφ' ἑαυτοῦ·[33] οὐ μὴν καὶ ἐς
8 ἅπαν γε ἐξενίκησεν. ἐπὶ δὲ Σίμου τοῦ Φιάλου[34] βασιλεύοντος ἠφανίσθη Φιγαλεῦσιν ὑπὸ πυρὸς τῆς Μελαίνης Δήμητρος τὸ ἀρχαῖον ξόανον· ἐσήμαινε δ'[35] ἄρα οὐ μετὰ πολὺ ἔσεσθαι καὶ αὐτῷ Σίμῳ τοῦ βίου τὴν τελευτήν.

Cypselus dum studiosius omnia exquirit, cognoscit Cresphontem Aristomachi filium nullis etiamnum nuptiis illigatum; quare desponsa ei filia, se omnemque regni partem nova affinitate contra eius belli terrorem facile tutatus est. (5) Cypselo successit Holaeas. Is Aepytum sororis filium cum Herculis posteris qui Lacedaemone et Argis in auxilium venerant, Messenen reduxit. Bucolion dehinc patris regnum excipit; idemque filio relinquit Phialo. Hic Phigaliam urbem, erepto suae laudis monumento conditori Phigalo, Phialiam de suo nomine voluit appellari; quod tamen non est omnino constanter usurpatum. Iam regnabat Simus Phiali filius, quum Cereris cognomento Nigrae pervetustum signum quod religione venerabantur Phigalenses, est igni consumtum, quae res Simo vitae finem qui brevi con-

25. ὃν τῶν B; ὃν τῶν Va; ὄντων MPcAgLab; ἕνα τῶν edd. rell. Vb.

26. θυγατέραν ἐςδοὺς MVa; seq. καὶ om. Va; mox τε om. MVa.

27. ἐντὸς VaR; hic ἐκτὸς ad marg.

28. Ὁλαίας ABPcVbLb; ὁ Λαίας XKFCMVaFab; ὁ Λαΐας Sylb.; [ὁ] Λαΐας S; Olaeas Am.; ολέας (spiritus ambig.) La. — cf. VI, 15. not. 6. τῆς ἀδελφοῖς La.

29. ἡρακλείδας MVaAgLb, copulat utramque lectionem La, ἡρακλείδαις (i. e. ς sup. ι) offerens.

30. δὲ SMVabAgLa; δ' rell. edd.

31. φίγαμον Pc.

32. φιγαλίαν PcAgLb; Φιαλίαν — οὐ μὴν om. MVa. — τῇ πόλει τὸ ὄνομα Lb, qui verborum ordo non displicet.

33. ἀφ' ἑαυτοῦ BPcAgLab; ἀφ' αὐτοῦ S; ἀπ' αὐτοῦ edd. rell. Vb.

34. Φιάλου Sylb. Palm. Ms. CSB La; Φιγάλου edd rell. MVabPcAg Lb. — Φιγαλεῦσιν om. La; quod ab interprete fortasse profectum.

35. δ' om. MVa; δὲ AgLa; ἐσήμαινεν ἄρα Lb, quod placet.

Πόμπου δὲ ἐκδεξαμένου τοῦ Σίμου τὴν ἀρχὴν Αἰγινῆ-
ται κατὰ ἐμπορίαν ἐσέπλεον ναυσὶν ἐς Κυλλήνην, ἐκεῖθεν
δὲ ὑποζυγίοις τὰ φορτία ἀνῆγον παρὰ τοὺς Ἀρκάδας.
ἀντὶ[36] *τούτου ἐτίμησεν ὁ Πόμπος μεγάλως, καὶ δὴ καὶ*
ὄνομα Αἰγινήτην τῷ παιδὶ ἔθετο ἐπὶ τῶν Αἰγινητῶν τῇ
φιλίᾳ.[37] (6) *Μετὰ δὲ Αἰγινήτην Πολυμήστωρ ἐγένετο*
ὁ[38] *Αἰγινήτου βασιλεὺς Ἀρκάδων. καὶ Λακεδαιμόνιοι καὶ* 9
Χάριλλος πρῶτον τότε ἐς τὴν Τεγεατῶν ἐσβάλλουσι στρα- 609
τιᾷ·[39] *καὶ σφᾶς αὐτοί τε οἱ Τεγεᾶται καὶ γυναῖκες ὅπλα*
ἐνδῦσαι μάχῃ νικῶσι, καὶ τόν τε ἄλλον στρατὸν καὶ αὐ-
τὸν Χάριλλον ζῶντα αἱροῦσι.[40] *Χαρίλλου μὲν δὴ καὶ*
τῆς σὺν αὐτῷ στρατιᾶς ἐς πλέον μνήμην ποιησόμεθα ἐν
τοῖς Τεγεατικοῖς· Πολυμήστορι δὲ οὐ γενομένων[41] *παί-*
δων παρέλαβεν Αἶχμις τὴν ἀρχὴν, Βριάκα μὲν παῖς, Πολυ- 10
μήστορος δὲ ἀδελφιδοῦς· Αἰγινήτου γὰρ ἦν καὶ Βριάκας,
νεώτερος δὲ ἦν Πολυμήστορος.[42] (7) *Αἴχμιδος δὲ βασιλεύ-*

secutus est, facile videri potuit portendisse. Paternum regnum adiit Pompus. Eo regnante Aeginetae navibus primum Cyllenen appellere commercii causa instituere. Inde vero ad Arcadas iumentis impositas merces pervehebant. Ea erga se popularesque suos Aeginetarum studia tam illustri gratia Pompus excepit, ut filio etiam Aeginetae nomen imposuerit. (6) Aeginetam consecutus est eius filius Polymestor. Tunc primum Lacedaemonii Charilli ductu Tegeatarum fines cum exercitu adorti sunt. Eos non viri solum, sed foeminae etiam sumtis armis proelio fuderunt et cum magna hostium manu ipsum quoque ducem vivum cepere. Verum de Charillo totaque hac eius expeditione plura memorabimus, ubi res Tegeatarum fuerint explicandae. Polymestori quum nulli essent liberi, successit Aechmis, Polymestoris fratre Briaca genitus; fuit enim Aeginetae Briacas etiam filius, Polymestore natu minor. (7) Dum

36. „Ante *ἀντὶ* deesse videntur *καὶ σφᾶς.*“ B; *αὐτοὺς* subintelligit S.

37. *φιλείᾳ* Vb.

38. *ὁ Αἰγιν.* Smai.; articulum om. edd. rell. codd.

39. *στρατείᾳ* AMVabLb; *στρατιὰν* Ag. Mox *τε* om. Vb; seq. *οἱ* delet Pors. — *Τεγεᾶται* AXKFC.

40. *αἱροῦσιν* AgLa. — *στρατειᾶς* M.

41. *γενομένων* Sylb. KFCSBVa(?) PcAgLab; *γινομένων* AXMVb. — *αἰχμὶς* VbLb; *αἴσχις αἴς αἴχμις* (priora expuncta) La. — *πολυμήτορος* La.

42. *Πολυμήστωρ* Smin. MVaAg Lb; *πολυμήστωρος* VbLa. — *αἴχμις δὲ* La.

σαντος Λακεδαιμονίοις ἐγένετο ὁ πρὸς Μεσσηνίους[43] πόλεμος. τοῖς δὲ Ἀρκάσιν ὑπῆρχε μὲν ἐς τοὺς Μεσσηνίους εὔνοια ἐξ ἀρχῆς, τότε δὲ καὶ ἐκ τοῦ φανεροῦ πρὸς Λακεδαιμονίους ἐμαχέσαντο μετὰ Ἀριστοδήμου βασιλεύοντος ἐν
11 Μεσσήνῃ. (8) Ἀριστοκράτης δὲ ὁ Αἴχμιδος τάχα μέν που καὶ ἄλλα[44] ἐς τοὺς Ἀρκάδας ὕβρισεν· ἃ δὲ ἀνοσιώτατα ἔργων ἐς θεοὺς ἐργασάμενον οἶδα αὐτὸν, ἐπέξεισί μοι ταῦτα ὁ λόγος. ἔστιν Ἀρτέμιδος ἱερὸν Ὑμνίας[45] ἐπίκλησιν· τοῦτο ἐν ὅροις μέν ἐστιν Ὀρχομενίων, πρὸς δὲ τῇ Μαντινικῇ· σέβουσιν ἐκ παλαιοτάτου καὶ οἱ πάντες Ἀρκάδες Ὑμνίαν[46] Ἄρτεμιν. ἐλάμβανε δὲ τὴν ἱερωσύνην
12 τῆς θεοῦ τότε ἔτι κόρη παρθένος. Ἀριστοκράτης δὲ, ὡς οἱ πειρῶντι τὴν παρθένον ἀντέβαινεν ἀεὶ τὰ παρ' αὐτῆς, τέλος καταφυγοῦσαν[47] ἐς τὸ ἱερὸν παρὰ τῇ Ἀρτέμιδι ᾔσχυνεν.[48] ὡς δὲ ἐς ἅπαντας ἐξηγγέλθη τὸ τόλμημα τὸν μὲν καταλιθοῦσιν οἱ Ἀρκάδες, μετεβλήθη δὲ ἐξ ἐκείνου καὶ ὁ νόμος· ἀντὶ γὰρ παρθένου διδόασι τῇ Ἀρτέ-

Aechmis regnum obtineret bellum inter Lacedaemonios et Messenios geri coeptum. Fuerat antiquitus Arcadibus cum Messeniis amicitia; quocirca tunc minime occulte cum Aristodemo Messeniorum rege in acie contra Spartanos stetere. (8) Aechmidis vero filius Aristocrates et alia fortasse contra suos populares insolenter egit, sed quod in deos ipsos immortales eum admisisse nefarium facinus compertum habeo hoc loco non praetermiserim. Est in Orchomeniorum finibus Mantinensi agro finitimum Dianae Hymniae cognomento fanum, quam antiquissima religione Arcades venerantur universi. Deae sacris tunc virgo praesidebat; eam quum ad stuprum pellicere Aristocrates non potuisset postremo ad aram deae confugientem violavit. Scelere patefacto incestum hominem Arcades lapidibus obruerunt et a virgine ad mulierem sacerdotii honorem transtu-

43. πρὸς μακηδονίους Vb.

44. καὶ ἄλλα om. Va; ἄλλα om. M. — ἀρκάδους Va. — ἐν θεοὺς La.

45. ὑμνείας Ag; „nuptialis (hochzeitliche) Müller. Dor. I, 372. — τῇ μαντικῇ La. „Sic interpunge: Μαντινικῇ· σέβουσι δὲ ἐκ“ Palm. Ms; antea distinguebant ante πρὸς δέ. Nobis placet: τοῦτο ἐν ὅροις μέν ἐστιν Ὀρχομενίων πρὸς τῇ Μαντινικῇ, σέβουσι δὲ ἐκ παλ.

46. ὑμνείαν et ἱερόσυνην Vb; τὸν ἱεροσύνην — τοῦ θεοῦ — κόριπαρθ. La.

47. καταφυγοῦσαν BPcVbAgLab; καταφεύγουσαν edd. rell. MVa.

48. ἴσχυνεν Vb; ἢ ἴσχυνεν Ag. — ὡς δὲ ὡς ἐς La. — ἠγγέλθη Vb.

μιδι ἱέρειαν γυναῖκα ὁμιλίας ἀνδρῶν ἀποχρώντως[49]
ἔχουσαν. (9) Τούτου δὲ υἱὸς ἐγένετο Ἱκέτας, Ἱκέτα δὲ 13
Ἀριστοκράτης ἄλλος ὁμώνυμός τε τῷ προγόνῳ[50] καὶ δὴ καὶ[51] τοῦ βίου τὴν αὐτὴν ἔσχεν ἐκείνῳ τελευτήν· κατελίθωσαν γὰρ καὶ τοῦτον οἱ Ἀρκάδες, φωράσαντες δῶρα ἐκ Λακεδαίμονος εἰληφότα καὶ Μεσσηνίοις τὸ[52] ἐπὶ τῇ Μεγάλῃ Τάφρῳ πταῖσμα προδοσίαν τοῦ Ἀριστοκράτους οὖσαν. αὕτη δὲ ἡ ἀδικία καὶ τῷ γένει τῷ ἀπὸ Κυψέλου παντὶ παρέσχεν αἰτίαν παυσθῆναι[53] τῆς ἀρχῆς. τὰ μὲν δὴ ἐς τοὺς βασιλεῖς πολυπραγμονήσαντί μοι κατὰ ταῦτα ἐγενεαλόγησαν οἱ Ἀρκάδες.

CAPUT VI.

Arcadum res bellis gestae memorantur — de vario ad Arcadiam aditu.

Κοινῇ δὲ Ἀρκάσιν ὑπῆρχεν ἐς μνήμην τὰ μὲν ἀρχαιό- 610
τερα[1] ὁ πρὸς Ἰλίῳ πόλεμος, δεύτερα δὲ ὁπόσα ἀμύνοντες Μεσσηνίοις Λακεδαιμονίων ἐναντία[2] ἐμαχέσαντο· μέ-

lerunt virorum congressibus iam exsatiatam. (9) Huic filius fuit Hicetas; Hicetae minor Aristocrates, avo tam exitu vitae quam nomine similis. Nam et hunc lapidum coniectu necarunt Arcades manifestae proditionis damnatum. Constabat enim dona eum a Lacedaemoniis cepisse eiusque maxime scelere insigni clade Messenios ad Magnam fossam affectos. Effecit hoc flagitium ut a Cypseli domo Arcadum imperium removeretur. Atque haec quidem quae de regum serie ac gentilitate sum accurate persecutus omnia mihi studiose percontanti Arcades enarrarunt.

Cap. VI. Quod vero ad res eorum publicis totius gentis auspiciis gestas attinet antiquissima memoria est Iliacae expeditionis. Alterum obtinet antiquitatis locum Messenici belli

49. ἀποχρόντως VbAg.
50. τῶν προγόνων MVabLb.
51. καὶ om. Va.
52. τῷ VbLab. — ἀπὸ κυψέλους La.
53. πανσθῆναι BPcRAgLab; πανθῆναι rell. edd. Vab et R marg.; παναθῆναι M. — Verb. τὰ μὲν Ἀρκάδες in principio capitis VI. posuit B.

Cap. VI. 1. ἀρχαιότερα CSmai. MVa; ἀρχαιότατα edd. rell. VbPc AgLab.
2. ἐναντία om. Va.

τεστι δὲ καὶ πρὸς Μήδους σφίσιν ἔργου[3] τοῦ ἐν Πλα-
2 ταιαῖς. Λακεδαιμονίοις δὲ ἀνάγκῃ πλέον καὶ οὐ μετ' εὐ-
νοίας ἐπί τε Ἀθηναίους συνεστρατεύσαντο καὶ ἐς τὴν
Ἀσίαν μετὰ Ἀγησιλάου διέβησαν, καὶ δὴ καὶ ἐς Λεῦκτρα[4]
αὐτοῖς τὰ Βοιωτικὰ ἠκολούθησαν.[5] τὸ δὲ ὕποπτον τὸ
ἐς τοὺς Λακεδαιμονίους ἀλλαχοῦ τε ἐπεδείξαντο καὶ μετὰ
τὸ ἀτύχημα Λακεδαιμονίων τὸ ἐν Λεύκτροις παρὰ Θηβαί-
ους[6] αὐτίκα ἀπ' αὐτῶν[7] μετέστησαν. Φιλίππῳ δὲ καὶ
Μακεδόσιν ἐν Χαιρωνείᾳ,[8] καὶ ὕστερον ἐν Θεσσαλίᾳ πρὸς
Ἀντίπατρον οὐκ ἐμαχέσαντο μετὰ Ἑλλήνων, οὐ μὴν οὐδὲ
3 τοῖς Ἕλλησιν ἐναντία ἐτάξαντο. πρὸς Γαλάτας δὲ τοῦ ἐν
Θερμοπύλαις κινδύνου φασὶ[9] Λακεδαιμονίων εἵνεκα οὐ
μετασχεῖν, ἵνα μή σφισιν οἱ Λακεδαιμόνιοι κακουργοῖεν
τὴν γῆν[10] ἀπόντων τῶν ἐν ἡλικίᾳ· συνεδρίου δὲ τῶν
Ἀχαιῶν[11] μετέσχον οἱ Ἀρκάδες προθυμότατα[12] Ἑλλήνων.
ὁπόσα δὲ αὐτοῖς οὐχὶ ἐν[13] κοινῷ κατὰ πόλεις δὲ ἰδίᾳ

societas. Fuerunt et ipsorum partes aliquae in pugna Plataeensi qua Persae fusi fuere. Spartanis contra Athenienses non partium studio adducti, sed necessitate potius coacti auxilia misere. Transmiserunt etiam in Asiam cum Agesilao, quin et Leuctricae pugnae interfuerunt. Fuisse tamen semper ambiguo se animo in Lacedaemonios, et alias declararunt, et tunc maxime quum post Leuctricam cladem ab iis ad Thebanos statim desciverunt. Iidem cum reliquis Graecis neque contra Philippum Macedonum regem ad Chaeroneam, neque contra Antipatrum in Thessalia arma cepere; non tamen hostile quicquam in Graecos admisere. Quod vero ipsi quoque ad Thermopylas contra Gallos non prodierint, eam nempe afferunt causam, veritos ne interea dum militaris aetas abesset Lacedaemonii agrum populationibus vexarent. Ad Achaeorum concilium promptius se quam ulli Graeciae populi aggregarunt. Haec in

3. ἔργον A.

4. λευκτρικὰ Va. — αὐταῖς La. — Βοιώτια BPcAg; e correctura ικὰ alieno loco inserta in Va λευκτρικὰ ortum videtur.

5. ἠβουλήθησαν MVaLbR; in hoc ἠκολούθησαν ad marg.

6. παρ' ἀθηναίους Ag.

7. ἀπ' αὐτῶν e corr. B; ἀπάντων rell. edd. codd.; post αὐτῶν expunximus μάλιστα cum BPcVaRAg Lab; in R est ad marg.; silet M.

8. χερωνείᾳ VaAg; χερονείᾳ Vb; χερωνίᾳ La.

9. φασὶν Ag.

10. κακουργεῖεν τῇ γῇ Va; κακουργεῖν Ag. — ἀπάντων, ό sup. ά, at spiritu non mutato, Vb.

11. τοῦ ἀχαίου Va; fortasse τοῦ Ἀχαιῶν. — μετέσχων Vb.

12. προθυμώτατα MVabPc*Ag Lb.

13. οὐχ ἐν Smai. et min.

συμβεβηκότα εὕρισκον, ἀποθησόμεθα αὐτῶν ἕκαστον ἐς[14]
τὸ οἰκεῖον τοῦ λόγου.
(2) Εἰσὶν οὖν ἐς Ἀρκαδίαν ἐσβολαὶ κατὰ τὴν Ἀργείαν 4
πρὸς μὲν Ὑσιῶν[15] καὶ ὑπὲρ τὸ ὄρος τὸ Παρθένιον ἐς
τὴν Τεγεατικὴν, δύο δὲ ἄλλαι κατὰ Μαντίνειαν διά τε
Πρίνου καλουμένης καὶ διὰ Κλίμακος. αὕτη δὲ εὐρυ-
τέρα τέ ἐστι[16] καὶ ἡ κάθοδος εἶχεν αὕτη βασμίδας ποτὲ
ἐμπεποιημένας. ὑπερβαλόντων[17] δὲ τὴν Κλίμακα χωρίον
ἐστὶν ὀνομαζόμενον Μελαγγεῖα, καὶ τὸ ὕδωρ αὐτόθεν τὸ
πότιμον Μαντινεῦσι[18] κάτεισιν ἐς τὴν πόλιν. προελθόντι 5
δὲ ἐκ τῶν Μελαγγείων, ἀπέχοντι τῆς πόλεως στάδια ὡς
ἑπτὰ[19] ἔστι κρήνη καλουμένη Μελιαστῶν· οἱ Μελιασταὶ
δὲ οὗτοι δρῶσι[20] τὰ ὄργια τοῦ Διονύσου, καὶ Διονύ-
σου τε[21] μέγαρον πρὸς τῇ κρήνῃ καὶ Ἀφροδίτης ἐστὶν
ἱερὸν Μελανίδος.[22] ἐπίκλησιν δὲ ἡ θεὸς ταύτην κατ᾽
ἄλλο μὲν ἔσχεν οὐδὲν, ὅτι δὲ ἀνθρώπων[23] μὴ τὰ πάντα

commune ab Arcadibus gesta; quae vero gessisse privatim urbes acceperim suis illa locis referentur. (2) Ducit in Arcadiam ex Argivorum finibus trames is qui ab Hysiis iuxta Parthenium montem in agrum Tegeaticum pervadit. Duo vero alii accessus circa Mantinean per Primum (loco ab ilice opinor nomen) et Scalas; sed posterior hic latior et olim gradus in ea semita, per quos descendebatur, facti fuerant. Perveniunt qui hinc descenderint ad vicum, cui nomen Melangea; unde poculenta Mantinensibus aqua intra oppidum defluit. Ubi e Melangeis progressus septem fere stadiis ab urbe abfueris occurrit fons qui Meliastarum vocatur. Hi Meliastae Bacchi orgia celebrant cui ad fontem istum sacra est aedes. Est ibidem etiam Veneris Melaenidis (id est Nigellae) aedes. Cognominis causam non aliam esse arbitror, quam quod homines noctu maxime

14. ἐς Va; εἰς edd. — εἰκεῖον Ag.

15. πρὸς μεσσηνίων MVaAg; πρὸς μενυσίων VbLab et Ag marg.; προςμενυσίαν R. Tum ὑπὲρ C Smai. BMVaPcdAgRLab; κατὰ edd. rell. Vb et R-marg. Perperam F e M ὑπὲρ Μαντίνειαν profert. — κλήμακος La.

16. ἔστιν Ag. — βασμίδας BMVabPcAgLab; βαθμίδας edd. rell.

17. ὑπερβαλόντων BPcAgLb; ὑπερβαλλόντων rell. edd. MVabLa. — κλήμακα Vb. — μελαγγεία La. — αὐτόθεον Lb.

18. μαντινεῦσιν MAg. — τῶν μεγγείων Lb.

19. σταδίους ἑπτὰ Va; seq. καλουμένη inseruimus cum BPcAgLa.

20. δρῶσιν Ag.

21. γε, τ sup. γ expuncto, Ag. — κρίνη h. l. et supra La.

22. Μελαινίδος S; „Veneris Melaenidis" Am.; cf. II, 2, 4.

23. ἀνθρώπῳ MLab; quod recipiendum fortasse. — ταῖς κτήνεσι

αἱ μίξεις ὥσπερ τοῖς κτήνεσι μεθ' ἡμέραν, τὰ πλείω δέ
6 611 εἰσιν ἐν νυκτί. ἡ δὲ ὑπολειπομένη τῶν ὁδῶν στενωτέρα[24] ἐστὶ τῆς προτέρας καὶ ἄγει διὰ τοῦ Ἀρτεμισίου. τούτου δὲ ἐπεμνήσθην καὶ ἔτι πρότερον τοῦ ὄρους,[25] ὡς ἔχοι μὲν[26] ναὸν καὶ ἄγαλμα Ἀρτέμιδος, ἔχοι δὲ καὶ τοῦ Ἰνάχου τὰς πηγάς. ὁ δὲ Ἴναχος ἐφ' ὅσον μὲν πρόεισι κατὰ τὴν ὁδὸν τὴν διὰ τοῦ ὄρους, τοῦτό[27] ἐστιν Ἀργείοις καὶ Μαντινεῦσιν ὅρος τῆς χώρας· ἀποστρέψας δὲ ἐκ τῆς ὁδοῦ τὸ ὕδωρ διὰ[28] τῆς Ἀργείας ἤδη τὸ ἀπὸ τούτου κάτεισι, καὶ ἐπὶ τούτῳ τὸν Ἴναχον[29] ἄλλοι τε καὶ Αἰσχύλος ποταμὸν καλοῦσιν Ἀργεῖον.

CAPUT VII.

De campo Argo dicto — Dine, aqua maris dulci — aquis ferventibus — Philippo, Macedonum rege — Olympiadis crudelitate et Cassandri stirpe exstincta.

Ὑπερβαλόντα[1] δὲ ἐς τὴν Μαντινικὴν διὰ[2] τοῦ Ἀρτεμισίου πεδίον[3] ἐκδέξεταί σε Ἀργὸν καλούμενον, καθάπερ

liberis operam dent, quum pecudes interdiu fere sui quaeque semper generis foeminas ineant. Trames alter qui per Artemisium ducit, longe est angustior. Huius montis et ante mentionem feci, in quo esse dixi Dianae templum et simulacrum. Fons etiam in eo Inachi amnis. Is qua per montem decurrit inter Argivos et Mantinenses terminus est; ubi vero ex illa via se averterit, reliquum deinceps cursum per Argivam regionem absolvit: quare et alii, et Aeschylus poeta, Argivum fluvium, appellant.

Cap. VII. Hinc Artemisio superato in Mantinensium fines descendentes planities excipit re aeque ac nomine iners; Ar-

La; κτήνεσιν Ag. — πλεί pro πλείω M.

24. στενοτέρα MVaAgLab; probat Pors.

25. τοὺς ὅρους Ag.

26. ἔχοι μὲν — ἔχοι δὲ CSmai. B PcdVbAgLab; ἔχει μὲν — ἔχοι δὲ AXKM; ἔχει μὲν — ἔχει δὲ FVa.

27. [κατὰ] τοῦτο C.

28. κατὰ corr. in διὰ Va. — τὸ ἀτὸ (π sup. τ) τούτου La. — κάτεισιν MAg.

29. οἴναχον Vb. — αἰσχῦλος Lb; αἰσχύλου Ag. — ἀργείων Lb. — Cf. II, 25, 3.

Cap. VII. 1. ὑπερβαλόντα B; ὑπερβάλλοντα rell. edd. codd. — μαντικὴν La.

2. καὶ διὰ Va.

3. παιδίον M. — καλοῦμεν Va. — ἔστιν Ag.

γε καὶ ἔστι· τὸ γὰρ ὕδωρ τὸ ἐκ τοῦ θεοῦ κατερχόμενον
ἐς αὐτὸ ἐκ τῶν ὀρῶν ἀργὸν[4] εἶναι τὸ πεδίον ποιεῖ, ἐκώ-
λυέ τε οὐδὲν ἂν τὸ[5] πεδίον τοῦτο εἶναι λίμνην, εἰ μὴ τὸ
ὕδωρ ἠφανίζετο ἐς χάσμα[6] γῆς· ἀφανισθὲν δὲ ἐνταῦθα
ἄνεισι κατὰ τὴν Δείνην. (2) Ἔστι δὲ ἡ Δείνη κατὰ τὸ 2
Γενέθλιον καλούμενον τῆς Ἀργολίδος ὕδωρ γλυκὺ ἐκ
θαλάσσης ἀνερχόμενον. τὸ δὲ ἀρχαῖον καὶ[7] καθίεσαν ἐς
τὴν Δείνην τῷ Ποσειδῶνι ἵππους οἱ Ἀργεῖοι κεκοσμη-
μένους χαλινοῖς. γλυκὺ δὲ ὕδωρ ἐν θαλάσσῃ[8] δῆλόν
ἐστιν ἐνταῦθά τε[9] ἀνιὸν ἐν τῇ Ἀργολίδι καὶ ἐν τῇ Θε-
σπρωτίδι κατὰ τὸ Χειμέριον καλούμενον. (3) Θαύματος 3
δὲ ἔτι πλέονός[10] ἐστιν ἐν Μαιάνδρῳ ζέον ὕδωρ, τὸ μὲν
ἐκ πέτρας, περιέχοντος τοῦ ῥεύματος τὴν πέτραν, τὸ δὲ
καὶ[11] ἐκ τῆς ἰλύος ἄνεισι τοῦ ποταμοῦ. πρὸ Δικαιαρ-

gum vocant. Cultus immune solum efficit e proximis montibus defluens aqua pluvia. Quo minus totus omnino campus stagnum fiat illud unum obstat, quod aqua hiantem specum nacta se e conspectu eripit, rursus vero circa Dinen erumpit. (2) Est Dine ad Genethlium (in Argolica terra hoc nomine vicus dicitur) dulcis aqua e mari erumpens. In Dinen Argivi olim Neptuno equos porriciebant fraenatos et ad speciem phaleris exornatos. Dulcis vero aquae venas e mari effundi in Argolicis tantum finibus, sed in Thesprotide etiam prope eum locum quod vocant Chimerium, satis constat. (3) Mirabilius tamen quod in Maeandro partim e saxo quod amnis circumfluit, partim etiam e fluviali limo fervens aqua profluit. Sicuti et iuxta Dicaearchian Tyrrhenorum oppidum, qui Puteoli iam recen-

4. ἀργῶν Vb.

5. ἐκολύετο οὐδὲν Pc. — ἂν τὸ Abresch ad Thucyd. p. 569. BPcAg Lab; αὐτὸ rell.; ἀντὶ πεδίου Cor.; cf. IX, 32, 3. — πεδίον om. Va.

6. χῶμα Va. — ἄνεισιν La. Tum Δείνην, Δείνη, Δείνην scripsimus; haec enim forma probanda vel Δίνη; cf. Hesych. s. his vocibus; Δεινὴν, Δεινὴ, Δεινὴν edd. — ἔστιν La. — θαλάττης La. „Il nous semble que la leçon ἐν θαλάσσῃ ἀνερχόμενον [voluit procul dubio ἀνιόν, nam ad not. 8 referenda est Sylb. observatio, nisi error latet] donnée par les manuscrits et adoptée par les premiers éditeurs (Arcad. c. 7, 2.) est préférable à ἐκ θαλάσσης ἀνερχ. comme on lit actuellement dans le texte.“ Puillon-Boblaye sur les ruines de la Morée p. 49.

7. καὶ addunt BPcAgLa.

8. ἐκ θαλάσσης Sylb. CS; „e mari“ Am.

9. τε om. Va; seq. ἐν addunt C Smai. BPa; facilius videtur ἐνταῦθά τε ἀνιὸν τῆς Ἀργολίδος. — Mox θεσπρώτιδι Lb; seq. κατὰ om. La.

10. πλέονός Pors. Lobeck SB; πλέον edd. rell. MVabPcAgLab. — ἔστιν ἐν μαιάδῳ Va.

11. καὶ om. Vb. — νίλέος Vb; ἰλύης La. — ἄνεισιν AgLa.

χίας δὲ τῆς Τυρσηνῶν[12] *ὕδωρ τε ἐν θαλάσσῃ ζέον καὶ νῆσος δι' αὐτό*[13] *ἐστι χειροποίητος, ὡς μηδὲ τοῦτο τὸ*
4 *ὕδωρ ἀργὸν εἶναι*[14] *ἀλλά σφισι λουτρὰ θερμά.* (4) *Τοῦ δὲ Ἀργοῦ καλουμένου πεδίου Μαντινεῦσιν ὄρος ἐστὶν ἐν ἀριστερᾷ, σκηνῆς τε Φιλίππου τοῦ Ἀμύντου καὶ κώμης*[15] *ἐρείπια ἔχον Νεστάνης· πρὸς ταύτῃ γὰρ στρατοπεδεύσασθαι*[16] *τῇ Νεστάνῃ Φίλιππον λέγουσι, καὶ τὴν πηγὴν αὐτόθι ὀνομάζουσιν ἔτι ἀπὸ*[17] *ἐκείνου Φιλίππιον. ἀφίκετο δὲ ἐς Ἀρκαδίαν Φίλιππος οἰκειωσόμενός τε Ἀρκάδας καὶ ἀπὸ τοῦ Ἑλληνικοῦ σφᾶς τοῦ ἄλλου διαστή-*
612
5 *σων. Φίλιππον δὲ βασιλέων μὲν τῶν πρὸ αὐτοῦ καὶ ὅσοι Μακεδόσι γενόνασιν ὕστερον, τούτων*[18] *μὲν πείθοιτο ἄν τις μάλιστα αὐτὸν ἔργα ἐπιδείξασθαι, στρατηγὸν δὲ ἀγαθὸν οὐκ ἄν τις φρονῶν ὀρθὰ καλέσειεν αὐτόν, ὅς γε καὶ ὅρκους θεῶν κατεπάτησεν ἀεὶ καὶ σπονδὰς ἐπὶ παντὶ ἐψεύσατο, πίστιν τε ἠτίμασε μάλιστα ἀνθρώπων·*

tiore nomine appellantur, calidae effervescunt in mari aquae; ubi iactis molibus de industria exstructa est insula cum balneis aquarum calidarum, ne eius muneris nullus esset usus. (4) Ad laevam eorum camporum quos Argos diximus appellari, mons in Mantinensibus eminet, in quo Philippi Amyntae filii castrorum et pagi cui nomen Nestane reliquiae exstant. Castra enim Philippus ad hanc Nestanen habuisse dicitur, et fontem etiam proximum ex eo Philippeum nominant. Venit in Arcadiam Philippus ut a reliquis Graecis Arcadas disiungeret suoque eos imperio adiiceret. Et Philippum quidem facile quivis sibi persuadeat rerum gestarum magnitudine omnes Macedonum reges, qui ante fuerunt quique ipsum consecuti sunt, superasse; nemo tamen qui recta sit in rebus existimandis sententia ei boni imperatoris laudem tribuerit, nempe qui iusiurandum semper

12. *τυρσινῶν* Va; *τυρσηνῶν*, *ι* sup. *η*, M.
13. *ἐν αὐτῷ* vultF, *αὐτόθι* C. — *ἐστιν* Ag.
14. *εἶναι* om. VaPc*PdAgLab; ab interprete profectum et locus mutilus videtur. — *σφισιν* Ag. — *λουτρὰ θερμά* BPcAgLa; ordine inverso reliqui; *λουτρὰ [παρέχεσθαι]* C. — *ἀρισιερα*, sine accentu, M.
15. *κώμη* Va. — *ἐρίπεια* AM.
16. *στρατοπεδεύσασθε* Va; seq. *λέγουσιν* om. idem; *λέγουσι* MAgLa.
17. *ἀπὸ* bis Va.
18. *τοῦτο* BPcAg(?); *τούτῳ* La. — *μέγιστα* pro *μάλιστα* Lambin. Am. B; probant FC; placet. — *ἐπιδείξασθαι στρατηγοῦ γε ἀγαθοῦ· ἄνδρα δὲ ἀγαθὸν οὐκ* Weiske de hyperbole errorum in hist. Philippi commissorum genetrice. — *οὐκ ἄν τις εὖ φρονῶν* Lambin. — *καλέσεις* La. — *ὅς τε καὶ* Lb. — *ἠτίμασεν* M.

καὶ οἱ τὸ ἐκ τοῦ θεοῦ μήνιμα ἀπήντησεν οὐκ ὀψὲ, πρῶτα 6
δὲ ὧν ἴσμεν[19]· Φίλιππος μὲν[20] οὐ πρόσω βιώσας ἕξ τε
καὶ τεσσαράκοντα ἐτῶν τὸ μάντευμα ἐξετέλεσε τὸ ἐκ
Δελφῶν, ὃ δὴ[21] χρωμένῳ οἱ περὶ τοῦ Πέρσου γενέσθαι λέγουσιν·

Ἔστεπται μὲν ὁ ταῦρος, ἔχει τέλος, ἔστιν ὁ θύσων.

τοῦτο μὲν δὴ οὐ μετὰ πολὺ ἐδήλωσεν οὐκ ἐς τὸν Μῆδον ἀλλὰ ἐς αὐτὸν ἔχον[22] Φίλιππον. (5) Ἐπὶ[23] δὲ 7
Φιλίππῳ τελευτήσαντι Φιλίππου παῖδα νήπιον,[24] γεγονότα δὲ ἐκ Κλεοπάτρας ἀδελφιδῆς[25] Ἀττάλου, τοῦτον τὸν παῖδα ὁμοῦ τῇ μητρὶ Ὀλυμπιὰς ἐπὶ σκεύους χαλκοῦ[26] πυρὸς ἐπιβεβλημένου διέφθειρεν ἕλκουσα· χρόνῳ δὲ ὕστερον καὶ Ἀριδαῖον ἀπέκτεινεν. ἔμελλε δ'[27] ἄρα ὁ δαίμων καὶ τὸ γένος τὸ Κασσάνδρου κακῶς ἐξαμήσειν· Κασσάνδρῳ δὲ οἱ παῖδες ἐκ Θεσσαλονίκης γεγόνασι τῆς

contempserit, foedera quamlibet ob causam fefellerit, unusque omnium in minimis fidem duxerit. Poenas tamen non utique seras Deo dedit. Neque enim natu grandior annorum XLVI Delphici oraculi vocem vitae exitu comprobavit. Consulenti de Persico bello redditum fuerat responsum:

Serta gerit taurus, finem manet, adstat aruspex.

Quod non ad Persarum regem, sed ad ipsum Philippum referendum fuisse, rei eventus satis perspicue demonstravit. (5) Philippo mortuo parvulum eius filium, quem ille ex Cleopatra, cui pater fuerat Attali frater, susceperat, una cum matre in aeneo vase ignibus circumdatis cruciatum Olympias enecuit. Eadem paucis post annis Aridaeum etiam de medio sustulit. Delevit autem infensissima fati vis Cassandri etiam sobolem, exstinctis filiis quos ille ex Thessalonica Philippi

19. Plenius distinximus post ἴσμεν cum BLa; post ὀψὲ rell. — πρῶτον MVa.

20. μὲν om. Va. — τε καὶ om. La. — ἐξετέλεσεν M.

21. ὃ δὲ VaLa; ὁ δὲ RLb; ὃ δὴ R marg.; seq. περὶ om. MVaPcAg RLb; in marg. addit R; οἱ τοῦ περὶ τοῦ Πέρσου, copulatis lectionibus οἱ τοῦ et οἱ περὶ τοῦ, La. — τοῦτον μὲν La.

22. ἔχων Vb.

23. ἐπεὶ VabAgLb.

24. παίδων ἤπιον MVabLb; παίδων ἤπιον Ag; παῖδα νίπιον La; seq. δὲ haud inepte om. Va.

25. ἀδελφιδοῦς Lb; mox ὁμοῦ bis idem; ἀδελφιδῆς — Ὀλυμπιὰς om. Vb.

26. χαλκοῦς Lb. — ὑποβεβλημένου coni. K Cor.

27. δὲ AgLab. — κασάνδρου Va. — γεγόνασιν M; γεγόνασι — Θεσσαλονίκῃ om. La.

Φιλίππου· Θεσσαλονίκη δὲ ἦσαν καὶ Ἀριδαίῳ μητέρες Θεσσαλαί. τὰ δὲ ἐς Ἀλέξανδρον καὶ τοῖς πᾶσιν[28] ὁμοίως
8 δῆλός ἐστιν ὁ Ἀλεξάνδρου θάνατος.[29] εἰ δὲ τοῦ ἐς Γλαῦκον τὸν Σπαρτιάτην[30] ἐποιήσατο ὁ Φίλιππος λόγον καὶ τὸ ἔπος ἐφ' ἑκάστου τῶν ἔργων ἀνεμίμνησκεν[31] αὐτόν,

Ἀνδρὸς δ'[32] εὐόρκου γενεὴ μετόπισθεν ἀρείων,

οὐκ ἂν οὕτω δίχα λόγου δοκεῖ μοι[33] θεῶν τις Ἀλεξάνδρου τε ὁμοῦ τὸν βίον καὶ ἀκμὴν τὴν Μακεδόνων σβέσαι. τόδε μὲν[34] ἡμῖν ἐγένετο ἐπεισόδιον τῷ λόγῳ.

CAPUT VIII.

Chorus Maerae — de fonte Arne narratio — de Mantinensium urbe eiusque conditore et amne Ophi — Mantinensium rebus bello gestis — Mantinea a Lacedaemoniis capta — reliquis Mantinensium fatis usque ad Adriani imperatoris tempora.

613 Μετὰ δὲ τὰ ἐρείπια τῆς Νεστάνης[1] ἱερὸν Δήμητρός ἐστιν ἅγιον, καὶ αὐτῇ καὶ ἑορτὴν[2] ἀνὰ πᾶν ἔτος ἄγου-

filia susceperat; Thessalis quidem matribus Thessalonice et Aridaeus geniti fuerant. Iam qui Alexandro contigerit vitae exitus omnibus notissimum. Quod si Philippus quoties aliquid moliretur elogium illud in Spartanum Glaucum editum in memoria habuisset eiusque sibi rationem habendam duxisset,

Sancta patris melior sequitur vestigia proles,

causa opinor non fuisset quamobrem deorum quis Alexandro exstincto Macedonum etiam opes everteret. Sed fuerit haec nobis non intempestiva digressio.

Cap. VIII. Post Nestanes ruinas Cereris fanum est multae religionis. In eo Mantinenses festos dies quotannis agi-

28. πᾶσιν FCSBMVaAgLab; παισίν Am. AXKVbPc.

29. δῆλός ἐστιν ὁ Ἀλ. correxit B; δῆλά ἐστι καὶ ὁ Ἀλ. Schneider; δῆλα ἐστιν Ἀλ. rell. edd. codd.; Ἀλεξάνδρου θάνατος uncis includit S.

30. Post Σπαρτιάτην excidisse εἰρημένου vel simile verbum suspicatur Schneider.

31. ἀνεμιμνήσκεν αὐτόν Vb; ἀναμίμνησκεν La.

32. δὲ MVaLab. — ἀρείνων La.

33. (δοκεῖ μοι) Sylb. K. — ἔσβεσε Sylb.

34. μὲν om. Pc; μὴν C; τὸ μὲν La.

Cap. VIII. 1. ῥεστάνης Va. — δήμητρόν La.

2. αὐτῇ ἑορτ., sine καί, C volente F; ἑωρτὴν Vb.

σιν οἱ Μαντινεῖς. καὶ κατὰ τὴν Νεστάνην[3] ὑπόκειται μά-
λιστα μοῖρα[4] μὲν καὶ αὐτὴ τοῦ πεδίου τοῦ Ἀργοῦ, Χορὸς[5]
δὲ ὀνομάζεται Μαιρᾶς· τοῦ πεδίου δέ ἐστιν ἡ διέξοδος
τοῦ Ἀργοῦ σταδίων δέκα. (2) Ὑπερβὰς[6] δὲ οὐ πολὺ
ἐς ἕτερον καταβήσῃ πεδίον· ἐν τούτῳ δὲ παρὰ τὴν λεω-
φόρον ἐστὶν Ἄρνη[7] καλουμένη κρήνη. λέγεται δὲ καὶ 2
τοιάδε ὑπὸ Ἀρκάδων, Ῥέα ἡνίκα Ποσειδῶνα ἔτεκε,[8] τὸν
μὲν ἐς ποίμνην καταθέσθαι δίαιταν ἐνταῦθα ἕξοντα μετὰ
τῶν ἀρνῶν, ἐπὶ τούτῳ δὲ ὀνομασθῆναι καὶ τὴν πηγὴν[9]
ὅτι περὶ αὐτὴν ἐποιμαίνοντο οἱ ἄρνες· φάναι[10] δὲ αὐ-
τὴν πρὸς τὸν Κρόνον τεκεῖν ἵππον, καί οἱ πῶλον ἵππου
καταπιεῖν[11] ἀντὶ τοῦ παιδὸς δοῦναι, καθὰ καὶ ὕστερον
ἀντὶ τοῦ Διὸς λίθον ἔδωκεν αὐτῷ κατειλημένον[12] σπαρ-
γάνοις. τούτοις Ἑλλήνων ἐγὼ τοῖς λόγοις ἀρχόμενος 3
μὲν τῆς συγγραφῆς εὐηθίας[13] ἔνεμον πλέον, ἐς δὲ τὰ

tant. Subiacet Nestanae planities inertium camporum pars; Maerae chorus appellatur. Stadia x patet dimensio inertium camporum. (2) Ubi paululum hinc processeris ad alios campos venias. In his fons est prope militarem viam, nomine Arne. Causam nominis talem Arcades prodidere. Rhea quum Neptunum peperisset, puerum in ovile abditum opilionibus educandum inter agnos tradidit, pro eo vero equinum pullum quem se enixam simularat Saturno vorandum obtulit; sicuti eadem post dicitur pro Iove lapidem fasciis involutum apposuisse. Quia igitur circa hunc fontem agni pascebantur ab agnis illis (ἄρνας Graeci vocant) fonti nomen inditum. Porro in prima ad hos commentarios aggressione Graecorum poetas, quibus haec fabulari in mentem venisset, futilitatis plurimae arguebam; sedenim ad Arcadum iam res progressus huiusmodi

3. τὴν ἐστάνην VbLab; τὴν ἐστάνην Ag. — ἐπίκειται Va; seq. μάλιστα om. Smin. MVa.

4. μοίρα Va; seq. καὶ αὐτὴ uncis saepsit S. Locus vix sanus.

5. Χορὸς — Ἀργοῦ om. MVb. — Χῶρος FC. — Μαίρας S, ob Hom. Od. XI, 326. Paus. X, 30, 2. [5]. Etymol. M. 823.

6. ὑπερβολὰς MVb. — καταβήσει Lab.

7. ἄρνε Ag. — κρέμη et ποσειδῶν Lb.

8. ἔτεκεν Ag.

9. τὴν γῆν Vb. — ἐποιμένοντο Va.

10. φᾶναι MLab.

11. καταποιεῖν Ag; καταπινεῖν La. — καθὰ ὕστ., sine καὶ, Lb.

12. κατειλημένον CSBVab(?)Pc Ag; κατειλημμένον edd. rell. M Lab.

13. εὐηθίας AXBMPcAgLab; εὐηθείας Sylb. edd. rell.; e Vab nihil enotavimus.

Ἀρκάδων προεληλυθὼς[14] πρόνοιαν περὶ αὐτῶν τοιάνδε ἐλάμβανον· Ἑλλήνων τοὺς νομιζομένους σοφοὺς δι' αἰνιγμάτων πάλαι καὶ οὐκ ἐκ[15] τοῦ εὐθέος λέγειν τοὺς[16] λόγους, καὶ τὰ εἰρημένα οὖν[17] ἐς τὸν Κρόνον σοφίαν εἶναί τινα εἴκαζον Ἑλλήνων. τῶν μὲν δὴ ἐς τὸ θεῖον ἡκόντων τοῖς εἰρημένοις χρησόμεθα.

4 (3) Μαντινέων δὲ ἡ πόλις σταδίους μάλιστά που δυοκαίδεκά[18] ἐστιν ἀπωτέρω τῆς πηγῆς ταύτης. Μαντινεὺς μὲν οὖν ὁ Λυκάονος ἑτέρωθι φαίνεται οἰκίσας τὴν πόλιν, ἣν ὀνομάζουσι[19] καὶ ἐς ἡμᾶς ἔτι οἱ Ἀρκάδες· ἐκεῖθεν δὲ Ἀντινόη Κηφέως τοῦ Ἀλεοῦ θυγάτηρ κατὰ μάντευμα ἀναστήσασα τοὺς ἀνθρώπους ἤγαγεν ἐς τοῦτο τὸ χωρίον, ὄφιν (ὁποῖον οὐ μνημονεύουσιν) ἡγεμόνα
5 ποιησαμένη τῆς ὁδοῦ· καὶ διὰ τοῦτο ὁ παρὰ τὴν πόλιν ῥέων τὴν νῦν ποταμὸς[20] Ὄφις ὄνομα ἔσχηκεν. εἰ δὲ

figmentorum causa attentius considerata sic statuo: Qui apud Graecos sapientiae nomen meruerunt eos de industria quarundam rerum narrationes ambagibus involvere voluisse; a quo sane Graecorum sapientum consilio id ipsum quod modo de Saturno memoravi, profectum coniicio. Sed nimirum de rebus divinis non aliter omnia atque a maioribus accepimus exponenda. (3) Mantinensium urbs ab eo fonte de quo iam locuti sumus stadia non amplius duodecim abest. Mantineum Lycaonis filium alia in regione urbem olim munisse constat, quam hoc etiamnum tempore de illius nomine appellant Arcades. Verum postea Antinoe, Cepheo Alei filio genita, ex quodam oraculo huc civitatem transportavit serpentem itineris ducem (quod genus fuerit non tradunt) secuta. Ex eo qui oppidum praeterfluit amnis, Ophis (id est Anguis) nominatur.

14. προεληλυθὼς Am. Sylb. Pors. Cor. Lobeck. SB; προσεληλυθὼς edd. rell. MVabPcAgLab.

15. οὐκ ἐκ e coni. F recepit C, Va; οὐκέτ' ἐκ rell. edd. MVbPcAg Lab. — εὐθέας Vab, in hoc ο sup. ω.

16. αὐτοὺς Va.

17. ἦν Vb. — εἶναιτια (sic) La.

18. δυοκαίδεκα recepimus e Va, in quo δύο καὶ δέκα; δώδεκα C Smai. BPcdVbAgLa; ιβ Lb; copulat utramque scripturam που δώδεκα ιβ' ἐστὶν, M; δύο Am. AXKF. Deinde πηγῆς coni. S. C. O. Müller, BPcAgLa; γῆς rell. edd. MVabLb; cf. not. 9. — οἰκίσαι La.

19. οὐνομάζουσι Vb; seq. ἐς om. La. — ἔτι [πτόλιν] C. — Ἀλέου S. — ὄφις ὁποῖον La.

20. ποταμὸς τὴν νῦν Va.

Ὁμήρου χρὴ τεκμαιρόμενον τοῖς ἔπεσι συμβαλέσθαι[21]
γνώμην, τὸν ὄφιν τοῦτον δράκοντα εἶναι πείθομαι. περὶ 614
Φιλοκτήτου μὲν ἐν νηῶν καταλόγῳ ποιήσας ὡς ἀπολί-
ποιεν[22] αὐτὸν οἱ Ἕλληνες ἐν Λήμνῳ ταλαιπωροῦντα ὑπὸ
τοῦ ἕλκους, ἐπίκλησιν οὐκ[23] ἔθετο ὄφιν τῷ ὕδρῳ· τὸν
δράκοντα δὲ ὃν ἐς τοὺς Τρῶας ἀφῆκεν ὁ ἀετὸς, ἐκάλε-
σεν ὄφιν. οὕτω τὸ εἰκὸς ἔχει καὶ τῇ Ἀντινόῃ[24] τὸν
ἡγεμόνα γενέσθαι δράκοντα. (4) Μαντινεῖς[25] δὲ μάχην 6
μὲν τὴν ἐν Διπαιεῦσιν οὐκ ἐμαχέσαντο πρὸς Λακεδαι-
μονίους μετὰ Ἀρκάδων τῶν ἄλλων, ἐν δὲ τῷ Πελοπον-
νησίων καὶ Ἀθηναίων[26] πολέμῳ συνέστησαν ἐπὶ Λακε-
δαιμονίους μετὰ Ἠλείων, καὶ παραγενομένου[27] συμμαχι-
κοῦ σφίσιν ἐξ Ἀθηνῶν Λακεδαιμονίων ἐναντία ἐμαχέ-
σαντο· μετέσχον δὲ καὶ τοῦ ἐς Σικελίαν στόλου κατὰ
Ἀθηναίων φιλίαν. (5) Χρόνῳ δὲ ὕστερον Λακεδαιμονίων 7
στρατιὰ[28] καὶ Ἀγησίπολις ὁ Παυσανίου βασιλεὺς ἐσέβα-
λον ἐς τὴν Μαντινικήν. ὡς δὲ ἐκράτησεν ὁ Ἀγησίπολις

Quod si ex Homeri versibus coniecturam aucupamur draconem illud existimare possumus. Is enim quum in enumerandis Graecorum navibus relictum in Lemno insula Philoctetem memoret graviter ex hydri morsu laborantem, hydro illi non adiicit agnomen serpentis; at idem draconem ab aquila demissum in Troianorum concionem fingens serpentem vocat. Quare et hunc Antinoes ducem draconem fuisse facile ut credamus adduci possumus. (4) Mantinenses quidem in Dipaeensium finibus contra Lacedaemonios cum ceteris Arcadibus non sunt proeliati: bello tamen Peloponnesiaco cum Eleis pro Atheniensibus contra Lacedaemonios arma tulere, Atheniensiumque auxiliis freti signa cum Lacedaemoniis contulere. Iidem vero cum Atheniensibus in Siciliam pro pristina amicitia susceptae expeditionis consortes navigarunt. (5) Interiectis temporibus Lacedaemonii duce Agesipolide Pausaniae filio Manti-

21. συμβάλλεσθαι Va; ἔπεσιν συμβαλλέσθαι Ag. — ἐννηνῶν La.
22. ἀπολείποιεν Va. — λίμνῳ AgLa.
23. ἐπίκλησιν δὲ οὐκ. VabPcLab. — τὸ ὕδωρ MVaR; in hoc τῷ ὕδρῳ ad marg.
24. ἀντιγόνῃ MVa; ἀντινόνι Vb.
25. μαντινείας MVabAgLb.
26. Ἀθηναίων — καὶ om. PcAg. — τῷ πολέμῳ Lb, unde suspiceris ἐν δὲ τῶν Πελοποννησίων καὶ Ἀθηναίων τῷ πολέμῳ.
27. παραγινομένου PcAg.
28. στρατεία AMVaLab. — μαντικὴν La.

τῇ μάχῃ καὶ ἐς[29] τὸ τεῖχος κατέκλεισε τοὺς Μαντινέας,
εἷλεν[30] οὐ μετὰ πολὺ[31] τὴν πόλιν, οὐ πολιορκίᾳ κατὰ
τὸ[32] ἰσχυρὸν, τὸν δὲ Ὄφιν ποταμὸν ἀποστρέψας σφίσιν
8 ἐς[33] τὸ τεῖχος, ὠμῆς ᾠκοδομημένον[34] τῆς πλίνθου. ἐς
μὲν δὴ μηχανημάτων ἐμβολὴν ἀσφάλειαν ἡ πλίνθος παρέ-
χεται μᾶλλον ἢ ὁπόσα λίθου πεποιημένα ἐστίν· οἱ μὲν[35]
γὰρ κατάγνυνταί τε καὶ ἐκπηδῶσιν ἐκ τῶν ἁρμονιῶν, ἡ
δὲ πλίνθος[36] ἐκ μηχανημάτων μὲν οὐχ ὁμοίως πονεῖ,
διαλύεται δὲ ὑπὸ τοῦ ὕδατος οὐχ ἧσσον ἢ ὑπὸ τοῦ ἡλίου
9 κηρός. τοῦτο οὐκ Ἀγησίπολις τὸ στρατήγημα ἐς τὸ τεῖ-
χος τῶν Μαντινέων ἐστὶν ὁ συνείς, ἀλλὰ πρότερον ἔτι
Κίμωνι ἐξευρέθη τῷ Μιλτιάδου Βόγην[37] πολιορκοῦντι
615 ἄνδρα[38] Μῆδον καὶ ὅσοι Περσῶν Ἠιόνα[39] τὴν ἐπὶ Στρυ-
μόνι εἶχον· Ἀγησίπολις δὲ καθεστηκὸς καὶ ᾀδόμενον[40]

nensium fines hostiliter ingressi Mantinenses ipsos proelio superatos intra moenia compulerunt; neque ita multo post oppidum non obsidionis aperta vi, sed militari astu ceperunt. Ophin enim fluvium ad muros detorserunt. Quo factum ut muri, quum essent e crudo laterculo exstructi, ea alluvie resolverentur. Ut enim structura haec tormentorum impetum debilitet (duriores enim lapides concussi infringuntur et e suis dissiliunt compagibus) ita tamen aquis diluitur ut cera igne vel sole liquescit. Hanc expugnandi artem non primus excogitavit Agesipolis, sed eam ante usurparat Cimon Miltiadis filius in Eione ad Strymonem amnem obsidenda, propugnante Boge Medo homine cum Persarum praesidio. Hoc illius fa-

29. ἐς BPcVabLa; εἰς edd. rell. Lb.

30. εἷλεν M; εἷλε AXKF; εἷλον Vb.

31. οὐ μετὰ πολὺ CSmai. BPc*Ag Vab(?); οὐ μετ' οὐ πολὺ AXKM Lab; μετ' οὐ πολὺ Sylb. FSmin.

32. τὸν ἰσχ. Vb.

33. ἐπὶ τὸ τεῖχος Va; indicat fortasse haec lectio correcturam ἐπιστρέψας loco alieno insertam.

34. ᾠκοδομημένον Am. Sylb. CS BVa(?); ᾠκοδομημένης edd. rell. MVbPcAgLab. — ἐς Vab; εἰς edd. — ἐκβολὴν Ag.

35. λίθοι μὲν C; οὐ μὲν γὰρ Ag; οἵ μὲν κατάγν. La. — πηδῶσιν Va. — ἀρμονικῶν Vb.

36. Ante πλίνθος S e cod. Phral. et Suid. inserit ὠμή. — Mox ὑπὸ ἡλίου, sine τοῦ, Lb.

37. Βόγην Palm. Wesseling ad Herod. VII, 107. CS, probat K; Βοῆ edd. rell. codd.

38. ἄνδραν Lb; ἄνδρην Vb; in quo nobis videmur iterum correcturam loco inepto insertam deprehendere, Βόην voluisse correctorem suspicamur. — μήδου Vb.

39. ἠϊονία Va; ἢ ἰόνα Lb. — ἦχον Va; εἶχος La.

40. ᾀδόμενος Va. — ὑπὸ Ἑλλήνων e coniectura S recepit B; ὑφ' Ἑλλήνων e coni. F recepit C; ὑπὸ Πελληνέων edd. rell. MVabPcAg Lab.

ὑπὸ Ἑλλήνων ἐμιμήσατο. ὡς δὲ εἷλε[41] τὴν Μαντίνειαν, ὀλίγον μέν τι κατέλιπεν οἰκεῖσθαι,[42] τὸ πλεῖστον δὲ ἐς ἔδαφος καταβαλὼν αὐτῆς κατὰ κώμας τοὺς ἀνθρώπους διῴκισε. (6) Μαντινέας δὲ ἐκ τῶν κωμῶν κατάξειν ἐς 10
τὴν πατρίδα ἔμελλον Θηβαῖοι μετὰ τὸ ἔργον τὸ ἐν Λεύκτροις. κατελθόντες δὲ οὐ τὰ[43] πάντα ἐγένοντο δίκαιοι· περιληφθέντες δὲ ἐπικηρυκευόμενοι Λακεδαιμονίοις καὶ εἰρήνην[44] ἰδίᾳ πρὸς αὐτοὺς ἄνευ τοῦ Ἀρκάδων κοινοῦ πράσσοντες, οὕτω[45] διὰ τὸ δέος τῶν Θηβαίων ἐς τὴν Λακεδαιμονίων συμμαχίαν μετεβάλοντο[46] ἐκ τοῦ φανεροῦ, καὶ τῆς Μαντινικῆς[47] πρὸς Ἐπαμεινώνδαν καὶ Θηβαίους μάχης Λακεδαιμονίων γινομένης ὁμοῦ τοῖς[48] Λακεδαιμονίοις ἐτάξαντο οἱ Μαντινεῖς. τούτων δὲ ὕστερον δια- 11
φορὰ ἐγένετο Μαντινεῦσιν ἐς τοὺς Λακεδαιμονίους, καὶ ἀπ' αὐτῶν μετέστησαν ἐς τὸ Ἀχαϊκόν. καὶ Ἆγιν τὸν Εὐδαμίδου βασιλεύοντα ἐν Σπάρτῃ νικῶσιν ἀμύνοντες τῇ σφετέρᾳ, νικῶσι δὲ προσλαβόντες Ἀχαιῶν στρατιὰν καὶ

ctum a Graecis decantatum imitatus est Agesipolis. Et captam quidem Mantinean magna ex parte diruit, paucis relictis ad habitandum aedificiis; reliquam multitudinem in proximos vicos divisit. (6) At Thebani post Leuctricam pugnam e vicis rursus in pristinas sedes Mantinenses reduxere. Non tamen illi satis gratos se praebuerunt. Nam quum circumclusi per legatos pacem cum Lacedaemoniis seorsum ab Arcadum concilio pepigissent, aperte postea societatem cum Spartanis professi sunt Thebanorum simultatem veriti. In Mantinensi certe pugna Lacedaemoniis contra Epaminondam praesto fuere; a quibus postea dissidio orto descivere ad Achaeos; Aginque Eudamidae filium, Spartanorum regem, proelio fusum extra fines suos eiecere accitis in auxilium

41. εἷλεν Va; seq. τὴν bis habet Lb. — μαντινείαν VaLab; μαντινίαν Vb.

42. ᾠκεῖσθαι Vb; κατέλειπεν οἰκίσθαι Ag; κατέλειπεν ᾠκισθαι (sic) La.

43. οὐ κατὰ πάντα Vb. — ἐγένοντο δίκαιοι περὶ αὐτούς. ληφθ. coni. K; δίκαιον περιλειφθέντες La.

44. εἰρήνην ἰδίᾳ BAg(?)Lab; εἰρ. ἰδίαν Pc; ἰδίᾳ εἰρήνην rell. — πράσσοντος M; πράσσαντος Va; πράσοντος Vb.

45. οὕτω coni. K, receperunt CSB; οὔτε edd. rell. codd.

46. μετεβάλοντο B; μετεβάλλοντο edd. rell. codd.

47. τῆς (sic) μαντινικῇ M; τῇ μαντινικῇ VabPcAgLab. — Ἐπαμινώνδαν edd. codd. — θηβαίων VabLb; θηβαίους, ων sup. vers., La. — μάχῃ AVabPcAgLab.

48. τῆς Vb.

Ἄρατον ἡγεμόνα ἐπ' αὐτῇ.[49] μετέσχον δὲ καὶ πρὸς Κλεομένην[50] τοῦ ἔργου τοῖς Ἀχαιοῖς καὶ συγκαθεῖλον Λακεδαιμονίων τὴν ἰσχύν.[51] Ἀντιγόνου δὲ ἐν Μακεδονίᾳ Φίλιππον[52] τὸν Περσέως πατέρα ἔτι παῖδα ὄντα ἐπιτροπεύοντος καὶ Ἀχαιοῖς ἐς τὰ μάλιστα ὄντος ἐπιτηδείου, ἄλλα τε ἐς τιμὴν αὐτοῦ Μαντινεῦσιν ἐποιήθη καὶ ὄνομα
12 τῇ πόλει μετέθεντο Ἀντιγόνειαν.[53] χρόνῳ δὲ ὕστερον Αὐγούστου πρὸς τῇ ἄκρᾳ τοῦ[54] Ἀπόλλωνος τοῦ Ἀκτίου ναυμαχήσειν μέλλοντος Μαντινεῖς ἐμαχέσαντο ὁμοῦ Ῥωμαίοις, τὸ δὲ ἄλλο Ἀρκαδικὸν συνετάχθησαν Ἀντωνίῳ, κατ' ἄλλο μέν, ἐμοὶ δοκεῖν, οὐδέν, ὅτι[55] δὲ ἐφρόνουν οἱ Λακεδαιμόνιοι τὰ Αὐγούστου. δέκα δὲ ὕστερον γενεαῖς ἐβασίλευσέ τε[56] Ἀδριανός, καὶ ἀφελὼν Μαντινεῦσι τὸ ὄνομα τὸ ἐκ Μακεδονίας ἐπακτὸν ἀπέδωκεν αὖθις Μαντίνειαν καλεῖσθαί σφισι τὴν πόλιν.

Achaeis eorumque duce Arato. Iidem cum Achaeis advorsum Cleomenem arma tulere et Lacedaemoniorum opes infregere. Antigono vero, dum Philippi qui Persei pater fuit tutelam gereret, quod is Achaeorum perstudiosus esset et alios honores habuere et in eius gratiam Mantinean mutato nomine Antigonean appellarunt. Iam vero multis post aetatibus in pugna Actiaca ad Apollinis promontorium Augusti studia secuti sunt, quum ceteri Arcadici nominis populi cum Antonio facerent, non aliam opinor ob causam quam quod Lacedaemonii in Augusti erant partibus. Aetatibus deinde post haec X, quum ad imperium Adrianus accessisset adventitium cognomen urbis illud Macedonicum sustulit eamque suo pristino nomine iussit vocari.

49. αὐτῇ FCSBMVaPcAgLab, et supra vers. Vb; αὐτῷ AXKVb.
50. κλεωμένην Vb. — τοῦ ἔργου coni. F, habent CSmai. BPcdAgLab; τῶν ἔργων edd. rell.; τὸν ἐρ καὶ (sic, spatium purum) Va; τὸν ἐρ καὶ (sic, spatium purum) VbM (hic τὸ ἔργων sec. S, perperam); καὶ pro τοῖς habent etiam AgLab.
51. τὴν ἀρχὴν Vb et marg. Va.
52. φίλιππος Ag. — παῖδα ὄντα Va; ὄντα om. rell. — Mox ἐπιτηδείους, sup. vers. ου, M; ἐπιτηδείως Vb.
53. ἀντιγονείαν LabVa; in hoc ί sup. εί.
54. τῇ ἀπολλ. Va.
55. ἔτι MVa; compendia quibus ἔτι et ὅτι exarantur, saepe spiritu tantum differunt.
56. ἐβασίλευσεν ἀδρ. Vb. — μαντινείαν La; hoc loco μαντίνειαν Lb.

CAPUT IX.

De Mantineae urbis templis et signis memorandis — Arcadis sepulcro et aliis monumentis — templo Veneris Symmachiae et Minerva Alea — Antinoi templo, cultu et imaginibus — Podaris heroo.

Ἔστι δὲ Μαντινεῦσι[1] ναὸς διπλοῦς μάλιστά που κατὰ 616
μέσον τοίχῳ[2] διειργόμενος· τοῦ ναοῦ δὲ τῇ μὲν ἄγαλμά
ἐστιν Ἀσκληπιοῦ,[3] τέχνη Ἀλκαμένους, τὸ δὲ ἕτερον Λη-
τοῦς ἐστὶν ἱερὸν καὶ τῶν παίδων· Πραξιτέλης δὲ τὰ
ἀγάλματα εἰργάσατο τρίτῃ[4] μετὰ Ἀλκαμένην ὕστερον γε-
νεᾷ· τούτων πεποιημένα ἐστὶν ἐπὶ τῷ βάθρῳ Μοῦσα καὶ
Μαρσύας αὐλῶν. ἐνταῦθα ἀνὴρ ἐπείργασται[5] στήλῃ Πο-
λύβιος ὁ Λυκόρτα· καὶ τοῦ μὲν ἐπιμνησθησόμεθα καὶ 2
ἐν[6] τοῖς ἔπειτα. Μαντινεῦσι δέ ἐστι καὶ ἄλλα[7] ἱερὰ, τὸ
μὲν Σωτῆρος Διὸς, τὸ δὲ Ἐπιδώτου[8] καλούμενον· ἐπι-
διδόναι[9] γὰρ δὴ ἀγαθὰ αὐτὸν ἀνθρώποις. ἔστι δὲ καὶ[10]
Διοσκούρων καὶ ἑτέρωθι Δήμητρος καὶ Κόρης ἱερόν·
πῦρ δὲ ἐνταῦθα καίουσι,[11] ποιούμενοι φροντίδα μὴ λά-

Cap. IX. Mantineae geminum est templum medio pariete dispertitum; in uno Aesculapii signum visitur Alcamenis opus, in altero Latonae eiusque liberorum cella est. Signa fecit Praxiteles tertia post Alcamenem aetate. In basi Musa insculpta et Marsyas tibiis canens. Ibidem pilae insistit Polybius Lycortae filius, de quo alio loco nobis erit mentio. Habent et alia Mantinenses delubra: Iovis Servatoris et eius, quem idcirco quod hominibus fortunas exauget, Epidoten nuncupant. Gemellorum etiam et in diversa urbis parte Cereris ac Proserpinae. Hoc in fano ignem accendunt; cui summa

Cap. IX. 1. *μαντινεῦσιν* MAg.
2. *τείχῳ* MVa.
3. *Ἀσκληπιοῦ — ἐστιν* om. Va. Post *τέχνη* expunximus *δὲ* cum BPc. — *ἀλκαμενοῦς* Lb.
4. *τρίτην* Vb. — *ἀλκαμένης* La. — *γενεα* (sic) M. — *ἐν τῷ βάθρῳ* La.
5. *ἀπείργασται* MVaPcAgLab. — *στήλην* MVabPcLb. — *ἐπιμνησόμεθα* MVa.
6. *ἐν* om. Va.
7. *ἅμα* MVbLb.
8. *Ἐπιδότου* BVab(?)Pc; *Ἐπιδοίτου* edd. rell. MAgLb; *ἐπὶ δοίτου* La. Nomen per ω scriptum vidimus II, 10, 2. II, 27, 6. III, 17, 9.
9. *ἐπιδόναι* Vb. — *αὐτὸν ἀγαθὰ* Ag.
10. *καὶ* recepimus ex AgLab. — *διὸς κούρων* Lb.
11. *καίουσιν* Ag.

3 θῇ σφίσιν ἀποσβεσθέν. καὶ Ἥρας πρὸς τῷ θεάτρῳ ναὸν ἐθεασάμην· Πραξιτέλης[12] δὲ τὰ ἀγάλματα αὐτήν τε καθημένην ἐν θρόνῳ καὶ παρεστῶσας ἐποίησεν Ἀθηνᾶν καὶ Ἥβην παῖδα[13] Ἥρας. (2) Πρὸς δὲ τῆς Ἥρας τῷ βωμῷ καὶ Ἀρκάδος τάφος τοῦ Καλλιστοῦς[14] ἐστί. τὰ δὲ ὀστᾶ τοῦ Ἀρκάδος ἐπηγάγοντο ἐκ Μαινάλου χρησμοῦ σφίσιν ἐλθόντος ἐκ Δελφῶν·

4 Ἔστι δὲ[15] Μαιναλίη δυσχείμερος, ἔνθα τε κεῖται
Ἀρκὰς, ἀφ' οὗ δὴ πάντες ἐπίκλησιν καλέονται.
Ἔνθα σ' ἐγὼ[16] κέλομαι στείχειν, καὶ εὔφρονι θυμῷ
Ἀρκάδ' ἀειραμένους[17] κατάγειν εἰς[18] ἄστυ ἐραννὸν,
Οὗ τρίοδος καὶ τετράοδος καὶ πεντακέλευθος,
Ἔνθα τε δὴ[19] τέμενός τε θυηλάς τ' Ἀρκάδι τεύχειν.

τὸ δὲ χωρίον τοῦτο ἔνθα ὁ τάφος ἐστὶ[20] τοῦ Ἀρκάδος,
5 καλοῦσιν Ἡλίου βωμούς. τοῦ θεάτρου δὲ οὐ πόῤῥω

religione ne exstinguatur cavent. Vidi etiam prope theatrum Iunonis aedem; Deam Praxiteles in solio sedentem fecit eique adsistentes Minervam et Heben Iunonis filiam. (2) Ab ara deae proxime abest Arcadis Callistus filii tumulus. Huc enim ex Delphici Apollinis oraculo e Maenalo sunt Arcadis ossa deportata. Oraculi vox fuit,

Frigida Maenaliae regio est, ubi conditus Arcas,
Arcades a cuius dicuntur nomine cuncti.
Huc ego ferre pedem iubeo te, et pectore laeto
Arcada sublatum pulchram transponere in urbem,
Quae trivia est, quae quadrivia, et quae quinque viarum.
Hic Arcas lucum, sacrorum hic munera habeto.

Locum ubi Arcadis est sepulcrum Solis aras vocant. Non longe a theatro illustria exstant monumenta. Inter ea focus qui

12. πραξιτέλους Vb.

13. παῖδας Va.

14. καλστιλοῦς M. — ἔστιν Ag; seq. δὲ om. MVabLb.

15. δὲ καὶ μαιν. Ag. — πὰν pro πάντες La.

16. τ' ἐγὼ Struve Programm. Regiom. 1818. p. 18. Annon ἐνθάδ' ἐγώ? — κέλωμαι, o sup. ω, Vb. — στίχειν MVabAg.

17. ἀειράμενον Pors.; ἄνκάδα εἰραμένους La.

18. εἰς Struve SLa; ἐς rell. — ἐρανὸν Vb; ἐρατινὸν MVaLbR; in hoc ἐραννὸν ad marg.; ἐρατεινὸν Ag.

19. ἔνθα θ' ἔδη Struv.; ἔνθα τε δεῖ Pors. — τεθυηλάστ' A; τε θυκλὰς M; τε θυκλάστ' VbLa; τε θυήλαστ' Lb.

20. ἐστιν Ag. — πόρρω Ag.

μνήματα προσήκοντά ἐστιν ἐς δόξαν, τὸ μὲν ἑστία καλου-
μένη κοινή,[21] περιφερὲς σχῆμα ἔχουσα· Αὐτονόην[22] δὲ
αὐτόθι ἐλέγετο κεῖσθαι[23] τὴν Κηφέως· τῷ δὲ[24] στήλη
τε ἐφέστηκε, καὶ ἀνὴρ ἱππεὺς ἐπειργασμένος ἐστὶν ἐπὶ τῇ
στήλῃ, Γρῦλος ὁ Ξενοφῶντος. (3) Τοῦ θεάτρου δὲ 6
ὄπισθεν ναοῦ τε Ἀφροδίτης ἐπίκλησιν Συμμαχίας ἐρείπια 617
καὶ ἀγάλματος[25] ἐλείπετο· τὸ δὲ ἐπίγραμμα ἐπὶ τῷ βά-
θρῳ τὴν ἀναθεῖσαν τὸ ἄγαλμα ἐδήλου θυγατέρα[26] εἶναι
Πασέου Νικίππην. τὸ δὲ ἱερὸν κατεσκευάσαντο τοῦτο
οἱ[27] Μαντινεῖς ὑπόμνημα ἐς τοὺς ἔπειτα τῆς[28] ὁμοῦ
Ῥωμαίοις ἐπ' Ἀκτίῳ ναυμαχίας. σέβουσι δὲ καὶ Ἀθηνᾶν
Ἀλέαν[29] καὶ ἱερόν τε καὶ ἄγαλμα Ἀθηνᾶς ἐστιν Ἀλέας αὐ-
τοῖς. (4) Ἐνομίσθη δὲ καὶ Ἀντίνους[30] σφίσιν εἶναι 7
θεός· ναῶν δὲ ἐν Μαντινείᾳ νεώτατός ἐστιν[31] ὁ τοῦ Ἀν-
τίνου ναός· οὗτος ἐσπουδάσθη περισσῶς δή τι ὑπὸ βα-

communis dicitur, rotunda figura, in quo sitam Autonoen creditum Cephei filiam. Eminet pila supra tumulum cum equestri statua: Grylus is est Xenophontis filius. (3) A tergo theatri reliqua adhuc sunt templi vestigia quod Veneri olim dicatum fuit Sociali, et in eo signi rudera. Indicat in basi incisa inscriptio, dedicasse Nicippen Paseae filiam. Templum erexere Mantinenses, quo monumentum esset posteris ipsos quum navalis ad Actium pugna committeretur in Romanorum fuisse partibus. Minervam praeterea Alean cognomento venerantur, cui templum et signum dedicarunt. (4) Antinoi etiam religio est divinis honoribus sancita. Est Antinoi aedes Mantinensibus recentissima; hunc praecipuo quodam amore Adrianus Impera-

21. κοινὴ om. Vb. — σχοῖμα Va.

22. Ἀντινόην CSmai., coll. c. 8, 4 et 5. „γρ. Ἀντινόην ὡς ἄνω p. 242. Apollon. Schol. p. 9. et sic legit Amasaeus." Palm. Ms. Placet. In M nomen est in correctura.

23. καλεῖσθαι M.

24. τὸ δὲ Va; τῇ δὲ M. — στόλη La. — ἐπειργάμενος Va. — ἐν τῇ στήλῃ AgLa. — Tum scripsimus Γρῦλος; γρύλος MVabAgLab; geminant λ edd. — συμμαχείας Lab.

25. ἀγάλματος coni. B; ἄγαλμα Goldh. CSmai., probat F; ἀγάλματα AXKFSmin. BMVabPcAgLab. — τὸ δὴ ἐπίγρ. Lb.

26. θυγατέραν Vb; θυγατέρος Lb. — πασαίου VbAgLa.

27. τοῦτο οἱ om. MVa; οἱ om. Lb.

28. τῆς Vb. — ἐπακτίων MVb; ἐπ' ἀκτίων Va.

29. Ἀλέαν et Ἀλέας AMVaLb; ἐστί. ἀλέας M.

30. ἐναντίους Vb.

31. ἐστιν inseruimus cum BPcVa AgLab, et post ναός distinximus cum B; post οὗτος Lab; sine distinctione rell.

παιδικὰ Ἀδριανοῦ. ἐγὼ δὲ μετ' ἀνθρώπων μὲν ἔτι αὐτὸν ὄντα οὐκ εἶδον, ἐν δὲ ἀγάλμασιν εἶδον καὶ ἐν γραφαῖς. ἔχει μὲν δὴ γέρα[32] καὶ ἑτέρωθι, καὶ ἐπὶ τῷ Νείλῳ πόλις Αἰγυπτίων ἐστὶν ἐπώνυμος Ἀντινόου· τιμὰς δὲ ἐν Μαντινείᾳ κατὰ τοιόνδε ἔσχηκε.[33] γένος ἦν ὁ Ἀντίνους ἐκ [Βιθυνίου πόλεως] Βιθυνίας[34] τῆς ὑπὲρ Σαγγαρίου ποταμοῦ· οἱ δὲ Βιθυνιεῖς Ἀρκάδες τέ εἰσι καὶ Μαντινεῖς
8 τὰ ἄνωθεν. τούτων εἵνεκα ὁ βασιλεὺς κατεστήσατο αὐτῷ καὶ ἐν Μαντινείᾳ τιμάς, καὶ τελετή τε κατὰ ἔτος[35] ἕκαστον καὶ ἀγών ἐστιν αὐτῷ διὰ ἔτους πέμπτου. οἶκος δέ ἐστιν ἐν τῷ γυμνασίῳ Μαντινεῦσιν ἀγάλματα ἔχων Ἀντινόου καὶ ἐς τἆλλα[36] θέας ἄξιος λίθων εἵνεκα οἷς κεκόσμηται, καὶ ἀπιδόντι[37] ἐς τὰς γραφάς· αἱ δὲ Ἀντινόου εἰσὶν αἱ πολλαί,[38] Διονύσῳ μάλιστα εἰκασμέναι. καὶ δὴ καὶ τῆς ἐν Κεραμεικῷ[39] γραφῆς ἣ τὸ ἔργον εἶχε τὸ Ἀθηναίων ἐν Μαντινείᾳ, καὶ ταύτης αὐτόθι ἐστὶ[40] μίμημα.

tor amplexus est. Illum ego viventem non vidi, statuas certe et pictas imagines sum conspicatus. Habentur ei et alibi honores et in Aegypto apud Nilum urbs de eius nomine est appellata. Colitur Mantineae ob huiusmodi causam. Patria ei fuit [Bithynium in] Bithynia supra Sangarium amnem. Bithynienses ipsi ex Arcadia oriundi Mantinenses olim fuere. Ob eam rem divinos ei honores a Mantinensibus haberi voluit Imperator Romanus; annua praeterea initia et quinquennale ludicrum celebrari. Domus in gymnasio est in qua Antinoi signa servantur, tum reliquis ornamentis, tum lapidum nobilitate, tum vero pictis Antinoi imaginibus insignis. Earum imaginum multae Liberi Patris insignia prae se ferunt. Quin et eius picturae quae in Ceramico Athenis res ab Atheniensibus ad Mantineam gestas repraesentat, ibi quoque ex illo veluti exem-

32. γέρας Va.
33. ἔσχηκεν Ag. — οὖν pro ἦν Vb.
34. ἐκ [Βιθυνίου πόλεως] Βιθυνίας; uncis inclusa inseruimus suasore Buttmanno; ἐκ Βιθυνίου Sylb. e Steph. Byz. Palm. Ms. Smin. B; cf. de urbe Strab. XII, 565; ἐκ Βιθυνίας edd. rell. codd. — Tum Βιθυνιεῖς Sylb. ex eodem Steph. Byz. Palm. Ms. Smin. B; Βιθυνεῖς edd. rell. codd. — καὶ τινεῖς τὰ La.
35. ἤτος Vb. — τῷ ante γυμνασίῳ om. La. — ἀντιγόνου h. l. et paullo ante Ag.
36. τἄλλα BPc; τἆλλα Lab; τὰ ἄλλα rell.
37. ἀπιόντι MVaPcAgLb.
38. πόλεις Vb.
39. Κεραμεικῷ BPcAg(?); Κεραμικῷ edd. codd. rell. — ἣ FCS BMVabAgLab; ἡ Palm. Ms. Pc; εἰ AXK. — εἶχεν Ag; ἔχει Sylb.
40. ἔστι Vab. — μίμημα Sylb. CSBPacAgLab; μνῆμα AXKFM

(5) Μαντινεῦσι δὲ ἐν τῇ ἀγορᾷ γυναικός τε εἰκὼν χαλκῆ, 9
καὶ Μαντινεῖς καλοῦσι[41] Δεομένειαν Ἀρκάδος, καὶ ἡρῷόν
ἐστι Ποδάρου·[42] φασὶ δὲ ἀποθανεῖν αὐτὸν ἐν τῇ πρὸς
Ἐπαμεινώνδαν[43] καὶ Θηβαίους μάχῃ. γενεαῖς δὲ τρισὶν
ἐμοῦ πρότερον μετέθεσαν τοῦ τάφου τὸ ἐπίγραμμα ἐς
ἄνδρα ἀπόγονον μὲν ἐκείνου Ποδάρου καὶ ὁμώνυμον,
γεγονότα δὲ καθ' ἡλικίαν[44] ὡς πολιτείας ἤδη Ῥωμαίων
μετειληφέναι. Ποδάρην δ' ἐπ'[45] ἐμοῦ τὸν ἀρχαῖον ἐτί- 10
μων οἱ Μαντινεῖς λέγοντες ὡς ἄριστος μὲν καὶ αὐτῶν 618
καὶ τῶν συμμάχων γένοιτο ἐν τῇ μάχῃ Γρῦλος[46] ὁ Ξενο-
φῶντος, ἐπὶ δὲ τῷ Γρύλῳ[47] Κηφισόδωρος Μαραθώνιος[48]
οὗτος δὲ τηνικαῦτα Ἀθηναίοις ἐτύγχανεν ἱππαρχῶν· τρίτα
δὲ ἀνδραγαθίας Ποδάρῃ[49] νέμουσιν.

plari efficta cernitur imago. (5) Est praeterea in Mantinensium foro mulieris aenea effigies, Deomenean vocant Arcadis filiam. Sepulcrum etiam heroicum Podaris, quem in acie cecidisse aiunt contra Epaminondam ac Thebanos pugnantem. Tribus autem ante me aetatibus inscriptionem tumuli ad minorem Podarem, qui superioris nepos eodem fuit nomine, transtulerunt. Vixit sic iis temporibus ut Romanorum etiam reipublicae particeps fuerit. Sedenim aetate mea apud Mantinenses antiquior Podares colebatur. In ea enim pugna, quum virtute cives ac socios omnes anteisse Grylum Xenophontis filium fateantur, alteram quidem palmam Cephisodoro Marathonio, qui Atheniensium equestres copias duxit; tertiam huic ipsi Podari, de quo nunc loquimur, tribuunt.

Vab; utrumque habet Pd, at μνῆμα expunctum; „imago" Am.

41. καλοῦσιν Ag. — δεόμενοι ἂν VaAgLb; δεόμενοι δ' ἂν (δ expunct.) Vb; δεομένοι ἂν M (δεομένοι ἂν sec. S.); δέομενοι ἄν ἀρκάδων (sic) La; ἀρκάδων etiam VabPcAgLb. — ἔστιν Ag et edd. quaedam.

42. Ποδάρου h. l. et postea CB MVabPcAgLab; Ποδάρους edd. rell.

43. ἐπαμινόνδαν Lab; Ἐπαμινώνδαν rell. — θηβαίοις Vb.

44. καὶ ἡλικίαν MVaAgLb; καὶ ἡλικείαν Vb; καθ' om. La.

45. δὲ ἐπ' Lb. — τὸ ἀρχ. M Va.

46. γρῦλος La; γρύλος MVabAg Lb; geminant λ edd.

47. ἐπὶ δὲ τῷ Γρύλλῳ Am. Sylb. B; probat F; Αἰγεῖ (ἀργεῖ Lb) δὲ τῷ Γρύλλου (γρύλου MVabAgLab) edd. rell. codd. Post Αἰγεῖ S asteriscum ponit ita corrigendum putans: Αἰγείδου, ἐπὶ δὲ τῷ Γρύλλῳ. Kuhnii est coniectura: αἱρεῖ δὲ τῷ Γρύλλῳ δεύτερα Κηφ. Locus corruptus; ad rem cf. Diog. Laërt. II, 54.

48. Μαραθώνιος Am. Sylb. SB; Μαραθῶνος edd. rell. codd. — ἐτύγχανεν Va. — τρίτῳ Ag.

49. Ποδάρῃ BVaPcAgLab; ἀποδάρη Vb; Ποδάρει edd. rell. M.

CAPUT X.

De memorandis ad vias, quae ab Mantinea in reliquam Arcadiam ducunt — monte Alesio et Neptuni Hippii templo — undae marinae scatebris in variis templis — tropaeo de Lacedaemoniis victis erecto et huius pugnae ratione — diis in proeliis opem ferentibus — cervi cuiusdam sacri longaevitate.

Ἐς Ἀρκαδίαν δὲ τὴν ἄλλην εἰσὶν ἐκ Μαντινείας ὁδοί· ὁπόσα δὲ ἐφ' ἑκάστης αὐτῶν μάλιστα ἦν θέας ἄξια ἐπέξειμι καὶ ταῦτα. ἰόντι ἐς Τεγέαν ἐστὶν ἐν ἀριστερᾷ τῆς λεωφόρου παρὰ τοῖς Μαντινέων τείχεσι[1] χωρίον ἐς τῶν ἵππων τὸν δρόμον, καὶ οὐ πόῤῥω τούτου στάδιον ἔνθα ἐπὶ τῷ Ἀντινόῳ τὸν ἀγῶνα τιθέασιν. (2) Ὑπὲρ δὲ τοῦ σταδίου τὸ ὄρος ἐστὶ[2] τὸ Ἀλήσιον, διὰ τὴν ἄλην, ὥς φασι, καλούμενον τὴν[3] Ῥέας, καὶ Δήμητρος ἄλσος ἐν τῷ
2 ὄρει. παρὰ δὲ τοῦ ὄρους τὰ ἔσχατα τοῦ Ποσειδῶνός ἐστι τοῦ Ἱππίου τὸ ἱερόν, οὐ πρόσω σταδίου Μαντινείας. τὰ δὲ ἐς τὸ ἱερὸν τοῦτο[4] ἐγώ τε ἀκοὴν γράφω καὶ ὅσοι

Cap. X. In reliquam Arcadiam viae ex Mantinea ducunt; in quarum unaquaque quae spectantem detinere possint iam persequar. Tegean contendentibus ad laevam militaris viae ante ipsos Mantineae muros campus est, ubi equorum curriculum; nec procul hinc stadium ludicro quod in Antinoi honorem celebratur, attributum. (2) Supra stadium mons est Alesium; ab erroribus Rheae sic appellatum tradunt. In eo monte Cereris lucus, et ubi mons desinit, aedes consurgit equestris Neptuni, stadium circiter a Mantinea distans, non amplius; de qua aede nihil ego praeter auditum habeo; sed neque quisquam alius

Cap. X. 1. τείχεσιν Ag. — Post χωρίον expunximus τε cum SBM VabPcLb. — πόρρω La.

2. ἐστιν Ag. — Ἀλήσιον et ἄλην AMVb; ἄλλην Ag.

3. τῆς ῥέας (sic) M; τῆς etiam Lb. Rheae in Arcadia errores quantum scimus incognitae, celebratissimae Cereris; quare ad violentiores confugimus coniecturas vel τὴν Δήμητρος pro τὴν Ῥέας scribendo, vel Rheae et Cereris nomina mutatis locis transponendo, καλούμενον τὴν Δήμητρος καὶ Ῥέας ἄλσος. „Propter urbem Tegeam ὄρος τὸ Ἀλήσιον διὰ τὴν ἄλην καλούμενον τὴν Ῥέας Paus. VIII, 10. quae ἄλη Cereris πλάνῃ aequiparanda est.“ Lobeck Aglaoph. II. pag. 1138. not. k. — Fortasse eam historiam respicit Pausanias quam narrat c. 36, 2. 3. — ἱππείου Lb.

4. ἐς τοῦτο τὸ ἱερὸν MVa. — ἐγὼ δὲ Va. — ἀκοὴν BMVabPc AgLab; ἀκοῇ edd. rell.

μνήμην ἄλλοι περὶ αὐτοῦ πεποίηνται. τὸ μὲν δὴ ἱερὸν
τὸ ἐφ᾽ ἡμῶν ᾠκοδομήσατο Ἀδριανὸς βασιλεὺς[5] ἐπιστή-
σας τοῖς ἐργαζομένοις ἐπόπτας ἄνδρας, ὡς μήτε ἐνίδοι
τις ἐς τὸ ἱερὸν τὸ ἀρχαῖον μήτε τῶν ἐρειπίων τι αὐτοῦ
μετακινοῖτο· πέριξ δὲ ἐκέλευε τὸν ναὸν σφᾶς οἰκοδο-
μεῖσθαι[6] τὸν καινόν. τὰ δὲ ἐξ ἀρχῆς τῷ Ποσειδῶνι τὸ
ἱερὸν τοῦτο Ἀγαμήδης λέγονται καὶ Τροφώνιος ποιῆσαι,
δρυῶν ξύλα ἐργασάμενοι[7] καὶ ἁρμόσαντες πρὸς ἄλληλα·
ἐσόδου δὲ ἐς αὐτὸ εἴργοντες ἀνθρώπους ἔρυμα[8] μὲν πρὸ
τῆς ἐσόδου προεβάλοντο[9] οὐδέν, μίτον δὲ διατείνουσιν
ἐρεοῦν, τάχα μέν που τοῖς τότε ἄγουσι τὰ θεῖα ἐν τιμῇ 3
δεῖμα καὶ τοῦτο ἔσεσθαι νομίζοντες, τάχα δ᾽ ἄν τι μετείη
καὶ ἰσχύος τῷ μίτῳ.[10] φαίνεται δὲ καὶ Αἴπυτος ὁ Ἱπ-
πόθου μήτε πηδήσας ὑπὲρ τὸν μίτον μήτε ὑποδύς, δια-
κόψας δὲ αὐτὸν[11] ἐσελθὼν ἐς τὸ ἱερόν· καὶ ποιήσας οὐχ 619
ὅσια ἐτυφλώθη τε ἐμπεσόντος ἐς τοὺς ὀφθαλμοὺς αὐτῷ
τοῦ κύματος καὶ αὐτίκα ἐπιλαμβάνει τὸ χρεὼν αὐτόν.
(3) Θαλάσσης δὲ ἀναφαίνεσθαι[12] κῦμα ἐν τῷ ἱερῷ τοῦ- 4

qui eius mentionem fecerit. Quod enim aetate nostra exstat templum exaedificandum curavit D. Adrianus, adhibitis inter fabros speculatoribus ne quis aut intra vetus templum aspiceret, aut ruderis ex eo quicquam sineret alio transportari. Ita vero aedificari iussit ut vetus templum novo circumquaque incingeretur. Priscum illud templum quernis inter se arcte compactis trabibus Agamedes et Trophonius erexisse dicuntur. Aditu autem homines prohibuisse non obicis ullius oppositu, sed laneum duntaxat funiculum obtendisse; sive quod vigente tunc religione satis sacrosanctum esse deum metu locum putarint; sive quod ei funiculo occulta inesset ad homines arcendos vis. Vulgatum est certe Aepytum Hippothoi filium, quum neque subisset, neque transsiluisset, sed filum conscidisset, ubi primum templum intravit sacrique religionem violavit, marinae aquae e sacris scatebris erumpentis vi subita obcaecatum neque multo post suo oppressum fato. (3) Pervetus sane fama pro-

5. ὁ βασιλεὺς Va.
6. οἰκονομεῖσθαι A; οἰκοδομῆσθαι Ag. — τὸν καιρὸν MVaLb.
7. εἰργασάμενοι Va.
8. ἔρημα Vb. — πρὸς τῆς Vab.
9. προεβάλλοντο Vb; seq. δὲ om. Va.
10. μίτῳ om. La. — Ἱππόθου Am. Sylb. CSB; Ἱππότου edd. rell. MPcLab. Ex AgVab nihil enotavimus.
11. αὐτῶν, p. corr. όν, Vb. — τε post ἐτυφλ. om. Lb.
12. ἀναφαίνεται VaLbR; in hoc

τῳ λόγος ἐστὶν ἀρχαῖος·' ἐοικότα δὲ καὶ Ἀθηναῖοι λέγουσιν ἐς τὸ κῦμα τὸ ἐν ἀκροπόλει, καὶ Καρῶν οἱ Μύλασα ἔχοντες ἐς τοῦ θεοῦ τὸ ἱερὸν ὃν φωνῇ τῇ ἐπιχωρίᾳ καλοῦσιν Ὀγῶα.[13] Ἀθηναίοις μὲν δὴ σταδίους[14] μάλιστα εἴκοσιν ἀφέστηκε τῆς πόλεως ἡ πρὸς Φαλήρῳ θάλασσα, ὡσαύτως δὲ καὶ Μυλασεῦσιν ἐπίνειον[15] σταδίους ὀγδοήκοντα ἀπέχον ἐστὶν ἀπὸ τῆς πόλεως· Μαντινεῦσι δὲ ἐκ μακροτάτων τε[16] ἡ θάλασσα ἄνεισι καὶ ἐκφανέστατα δὴ κατὰ τοῦ θεοῦ γνώμην. (4) Πέραν δὲ τοῦ ἱεροῦ τοῦ Ποσειδῶνος τρόπαιόν ἐστι[17] λίθου πεποιημένον ἀπὸ Λακεδαιμονίων καὶ Ἄγιδος. λέγεται δὲ καὶ ὁ τρόπος τῆς μάχης· τὸ μὲν δεξιὸν εἶχον[18] οἱ Μαντινεῖς αὐτοί, στρατιάν τε ἀπὸ πάσης ἡλικίας καὶ στρατηγὸν παρεχόμενοι

didit in hoc templo marinae undae scatebras esse. Idem est etiam de aqua marina Atheniensium arcis proditum memoriae; deque eo fonte qui apud Mylasenses (quae Cariae civitas est) in eius dei templo scatet, quem ipsi patria lingua Ogoa nominant. Tantum interest, quod Athenae a Phalero absunt stadia haud amplius XX. Mylasensium vero navale abest ab oppido stadia LXXX. At Mantinensibus, quum plurimum a mari recedant, non nisi divinitus extitisse eam in templo aquam existimandum. (4) Ubi Neptuni templum praeterieris trophaeum lapideum videas de Lacedaemoniis victis eorumque duce Agide erectum. Pugna ad hunc modum commissa narratur. Dexterum cornu tenuere Mantinenses ipsi, habito ex omni aetate delectu; dux fuit Po-

ἀναφαίνεσθαι ad marg. Mox τοῦτο λόγος et ἐοκότα Ag. — οἱ μύλασα bis La.

13. Ὀγῶα B; ὀγωα (sic) Lb; ὀγῶνα La. Nominis forma ambigua; apud Strabon. XIV, 659 (630 Tzsch.) codd. consentiunt in Ὠσογώ (Ὀσογώ Paris.); cf. omnino Tzsch. ad h. l. Ad Ὠσογώ propensior videtur S; Böckh Corp. Insc. II, p. 476.h Nr. 2700. coniicit Ὀσογῶα, quod et nobis placet; formam Ὀσογώ extra dubium ponere videntur inscriptiones Mylasenses ap. Böckh. No. 2693 f. p. 476 c et 2700. A nominativo Ὀσογών recte possis Ὀσογῶνα derivare, formam a La confirmatam. — Ceterum eandem rem Pausanias iam tractavit I, 26, 5.

14. σταδίοις Pc. — Φαληρῷ AX KFCMAgLab et procul dubio Vab; omnino hanc formam apud Pausaniam omnibus in locis praeferre videntur codd. — μυλασσεῦσιν omisso praeced. καὶ Ag; μυλασεύσιν La.

15. ἐπίνησον Va. — ἀπέχων Vab; ἀπέσχον La. — μαντινεῦσιν M.

16. τε expungendum censet S; nos ἄνεισι καὶ ἐκφ. scripsimus pro ἄνεισιν ἐκφ. quod habent edd. codd.

17. ἐστιν Ag.

18. εἶχον om. Vb. — στρατείαν AVaLab.

Ποδάρην,[19] ἀπόγονον τρίτον Ποδάρου τοῦ Θηβαίοις ἐναντία ἀγωνισαμένου· παρῆν δέ σφισι[20] καὶ μάντις Ἠλεῖος Θρασύβουλος Αἰνέου τῶν Ἰαμιδῶν· οὗτος ὁ ἀνὴρ νίκην τε τοῖς Μαντινεῦσι προηγόρευσε[21] καὶ αὐτός σφισιν τοῦ ἔργου μετέσχεν.[22] ἐπὶ δὲ τῷ εὐωνύμῳ πᾶν τὸ 6
ἄλλο Ἀρκαδικὸν ἐτάσσοντο·[23] ἄρχοντες δὲ κατὰ πόλεις τε[24] ἦσαν καὶ Μεγαλοπολιτῶν Λυδιάδης καὶ Λεωκύδης·[25] Ἀράτῳ δὲ ἐπετέτραπτο καὶ Σικυωνίοις[26] τε καὶ Ἀχαιοῖς τὸ μέσον. Λακεδαιμόνιοι δὲ καὶ Ἆγις ἐπεξέτειναν τὴν φάλαγγα,[27] ὡς τῶν ἐναντίων τῷ στρατεύματι ἀντιπαρήκοιεν· τὸ μέσον δὲ Ἆγις καὶ οἱ περὶ τὸν βασιλέα εἶχον. Ἄρατος δὲ ἀπὸ [τοῦ][28] συγκειμένου [αὐτῷ] πρὸς τοὺς 7
Ἀρκάδας ὑπέφευγεν[29] αὐτός τε καὶ ὁ σὺν αὐτῷ στρατὸς οἷα δὴ τῶν Λακεδαιμονίων σφίσιν ἐγκειμένων·[30] ὑποφεύγοντες δὲ ἅμα τὸ σύνταγμα σφῶν ἠρέμα ἐποίουν μηνοειδές. Λακεδαιμόνιοι δὲ καὶ Ἆγις νίκην τε ἤλπιζον καὶ

dares, Podaris illius pronepos quem paulo ante cum Thebanis strenue pugnasse memoravimus. Aderat vates Eleus Thrasybulus Aeneae filius, ex Iamidarum gente; qui et victoriam praedixit et periculi socius Mantinensibus fuit. Stetere in laevo cornu reliquae Arcadici nominis copiae. Suos civitates singulae duces habuere; duos Megalopolitae Lydiadem et Leocydem. Media acies Arato Sicyoniorum et Achaeorum duci commissa fuerat. Lacedaemonii phalangem suam dilatarant, quo in hostilem aciem omni ex parte frontem obverterent. In medio agmine Agis cum suo globo constiterat. Ibi Aratus (re ita cum Arcadibus composita) cum sua manu fugam simulat, quasi vero impressionem Spartanorum sustinere non posset. Ea fugae specie acies in lunae modum incurvata est. Agis cum sua

19. *Ποδάρη* AXK; *Ποδάρην* edd. rell. codd. Deinde *Ποδάρου* BM VabPcAgLab; *Ποδάρους* edd. rell.; cf. cap. praeced. not. 42. — *θηδαίοις* Vb.

20. *σφίαν* Ag. — *μαντισήλιος* VaAgLab; *μάντις κήλιος* Vb. — *τοῦ ἰαμ.* VabLb; *Ἰαμίδων* AXVb Lb. — *νικὴν* M; *νίκη τὲ* Lb.

21. *μαντινεῦσιν προηγόρευσεν* Ag.

22. *μετέσχεν* Va; *μετεῖχε* Ag; *μετεῖχεν* rell. — *εὐονύμῳ* La.

23. *ἐτάσοντο* Vb.

24. *τε* om. Vb.

25. *λεωνίδης* Vb; *λεωκίδης* Ag; fortasse *Λεωκήδης*.

26. *συκιωνίοις καὶ ἀχ.* Va.

27. *φάλαγγαν* Va. — *ἀντιπαροίκοιεν* La; ante et post hanc vocem signum quoddam nobis incognitum.

28. *τοῦ* om. BAgPcLa; seq. *αὐτῷ* om. AgLa.

29. *ὑπέφυγεν* Vb; *ὑπέφευγεν* edd. rell. MVaPcAgLab.

30. *ἐκειμένων* Vb. — *ἀποφεύγοντες* MVa.

τοῖς[31] περὶ τὸν Ἄρατον ἐνέκειντο ἀθρόοι μᾶλλον·
ἐπηκολούθουν δέ σφισι καὶ οἱ ἀπὸ τῶν κεράτων,
Ἄρατον[32] καὶ τὴν σὺν αὐτῷ στρατιὰν τρέψασθαι μέγα
8 ἀγώνισμα ἡγούμενοι. ἔλαθόν τε δὴ κατὰ νώτου γενόμε-
620 νοί σφισιν οἱ Ἀρκάδες, καὶ οἱ Λακεδαιμόνιοι κυκλωθέν-
τες τῆς τε[33] ἄλλης στρατιᾶς τὸ πολὺ ἀποβάλλουσι καὶ
βασιλεὺς ἔπεσεν Ἆγις Εὐδαμίδου.[34] φανῆναι δὲ καὶ τὸν
Ποσειδῶνα ἀμύνοντά σφισιν ἔφασαν οἱ Μαντινεῖς,[35] καὶ
τοῦδε εἵνεκα τρόπαιον ἐποιήσαντο ἀνάθημα τῷ Ποσει-
9 δῶνι. Πολέμῳ δὲ καὶ ἀνθρώπων φόνοις παρεῖναι θεοὺς
ἐποίησαν μὲν ὅσοις[36] τὰ ἡρώων ἐμέλησεν ἐν Ἰλίῳ παθή-
ματα, ᾄδεται δὲ ὑπὸ Ἀθηναίων ὡς θεοὶ σφισιν ἐν Μα-
ραθῶνι καὶ ἐν Σαλαμῖνι τοῦ ἔργου μετάσχοιεν·[37] ἐκδη-
λότατα δὲ ὁ Γαλατῶν στρατὸς ἀπώλετο[38] ἐν Δελφοῖς ὑπὸ
τοῦ θεοῦ καὶ ἐναργῶς ὑπὸ δαιμόνων. οὕτω καὶ Μαν-
τινεῦσι λέγεται[39] οὐκ ἄνευ τοῦ Ποσειδῶνος τὸ κράτος

cohorte victoriae spe incitatus fugientes urget. Iam et a cornibus utrinque imperatorem suum cupidius secuti in eandem incumbunt partem; quippe qui confectum negotium interpretabantur si Arati manum fudissent. A tergo inconsultius progressos Mantinenses adorti mox densa incingunt corona. Spartanorum magnus numerus cum Agide Eudamidae filio rege suo caesi. Visum in eo proelio Neptunum dimicantem pro suis partibus memorant Mantinenses, ob idque erga se meritum ei trophaeum dedicarunt. Ac deos quidem proeliis hominum ac caedibus interesse solitos testantur quicunque heroum apud Ilium casus persecuti sunt. Praedicant Athenienses ad Salaminem et Marathonem praesto sibi deos fuisse. Nihil vero certius quam ab Apolline et patriis dis deletum apud Delphos Gallorum exercitum. Quo minus mirum videri debet si Neptuni praesenti

31. ἤλπιζον αὐτοῖς Vb. — ἐπικολούθουν Vb. — σφισιν Ag.

32. Ἄρατον — ἡγούμενοι om. Ag.

33. τε inseruimus cum B; τῆς ἄλης La. — ἀποβάλλουσιν Ag.

34. εὐαμίδου Va; εὐδάμου Vb.

35. οἱ Μαντινεῖς ἔφασαν B.

36. ὅσοι MVbLb. — ἐν ἠλίῳ Ag.

37. κατέσχοιεν MVab; κατάσχοιεν Lb; μηκατάσχοιεν La. — ἐκδηλώτατα MVabLab.

38. ἀπόλετο Vb.

39. Μαντ. τοῦ λόγου τὸ εἰκὸς ἕπεται Pors.; Μαντινεῦσιν ἕπεται (ἔπεται La) edd. codd., unde Μαντινεῦσι λέγεται eruimus; non tamen satis fidenter; cap. 12, 7., ubi Τεγεάταις γὰρ τοῦ λόγου τὸ εἰκὸς καὶ οὐ Μαντινεῦσιν ἕπεται, contemplantibus verior Porsoni videtur ratio; at tum pro seq. σφίσι scribendum est φήσασι.

γενέσθαι σφίσι.[40] Λεωκύδους δὲ τοῦ Μεγαλοπολιτῶν ὁμοῦ Λυδιάδῃ[41] στρατηγήσαντος πρόγονον ἔνατον Ἀρκεσίλαον οἰκοῦντα ἐν Λυκοσούρᾳ λέγουσιν οἱ Ἀρκάδες ὡς ἴδοι τὴν ἱερὰν τῆς καλουμένης Δεσποίνης[42] ἔλαφον πεπονηκυῖαν ὑπὸ γήρως· τῇ δὲ ἐλάφῳ ταύτῃ ψάλιόν[43] τε εἶναι περὶ τὸν τράχηλον καὶ γράμματα ἐπὶ τῷ ψαλίῳ·

Νεβρὸς ἐὼν ἑάλων ὅτ' ἐς Ἴλιον[44] ἦν Ἀγαπήνωρ.

οὗτος μὲν δὴ ἐπιδείκνυσιν ὁ λόγος ἔλαφον εἶναι πολλῷ καὶ ἐλέφαντος[45] μακροβιώτερον θηρίον.

ope Mantinenses tunc prospere pugnarunt. Leocydem vero eum qui Lydiade collega Megalopolitanis eo bello praefuit, nono gentilitatis gradu oriundum ab Arcesilao fuisse tradunt, eo sane qui quum Lycosurae domicilium haberet, cervam vidisse dicitur ei quam Dominam nominant deae sacram, confectam iam aetate, cum torque in quo incisae erant literae:

Hinnulus excipior solvente Agapenore Troiam.

Argumento versus hic est multo esse quam elephantem cervum vivaciorem.

40. σφίσιν Ag. — λεοκύδους MAg Lab. Tum δὲ CSmai. BVab(?)Pcd AgLa; τε edd. rell. MLb.

41. λυδιάδι VbAg. — ἕνα τὸν ἄρχεσ. AgLa.

42. δὴ σπόνης Va. — πεποιηκυῖαν Vab.

43. ψάλιον CMVabPcAgLab; ψέλιον Smai. B; ψέλλιον edd. rell. — ψαλίῳ CMVaPcAgLab; ψαλλίῳ Vb; ψελίῳ Smai. B; ψελλίῳ edd. rell. Ut hoc loco unanimi consensu codd. bis ᾱ tuentur, sic VII, 26, 9 (ubi vid. not. 31.) ε̄, quare utramque formam suo loco conservavimus; λ̄ et nostro loco et lib. VII. omnes offerunt libri msti excepto uno Vb, qui semel geminat literam; V, 20, 8. (cf. ibi not. 27.) consentiunt codd. in ψαλίων, nisi quod geminat literam λ Pd.

44. νεβράν σ εἴςναον ἑαλων Pc; νεβρὸς οὐν εἰς ναὸν ἑάλω Ag; νεβοὸς σὺ εἰς ναὸν ἑάλω MVa; νεβρὸς σὺ ἐς (εἰς R) ναὸν ἑάλω RVb; at in hoc σὺ expunctum, ἐς ναὸν litura deletum suprascripto ἐὼν ὅτ', ita ut νεβρὸς ἐὼν ὅτ' ἑάλω ὅτ' ἐς legatur; — νεβρὸς ἐὼν ἑάλω (ἐάλω La) LaR marg.; νεβρὸς σύεις ναὸν ἑάλω Lb. Nondum extricamus quid torqui illi inscriptum fuerit. — ἠγ' Ἀγαπήνωρ Meineke in Biblioth. Hildesh. 1823. II, p. 159.

45. ἐλέφαντας Va.

CAPUT XI.

De loco Pelagos dicto — Pelias filiarum tumulis et Peliae nece — loco Phoezon dicto — Epaminondae morte — Epaminondae sepulcro — fraudis ex nominum similitudine enatae exempla proferuntur.

Μετὰ δὲ τὸ ἱερὸν τοῦ Ποσειδῶνος χωρίον ὑποδέξεται σε δρυῶν πλῆρες, καλούμενον Πέλαγος· καὶ ἐκ Μαντινείας ἡ ἐς Τεγέαν ὁδὸς φέρει διὰ τῶν δρυῶν.[1] Μαντινεῦσι δὲ ὅροι πρὸς Τεγεάτας εἰσὶν ὁ περιφερὴς ἐν τῇ λεωφόρῳ βωμός. (2) Εἰ[2] δὲ ἀπὸ τοῦ ἱεροῦ τοῦ Ποσειδῶνος ἐς ἀριστερὰν ἐκτραπῆναι θελήσειας, σταδίους τε ἥξεις[3] μάλιστά που πέντε καὶ ἐπὶ τῶν Πελίου θυγατέρων ἀφίξῃ τοὺς τάφους. ταύτας φασὶν οἱ Μαντινεῖς μετοικῆσαι[4] ἐπὶ σφᾶς τὰ ἐπὶ τῷ θανάτῳ τοῦ πατρὸς
2 ὀνείδη φευγούσας. ὡς γὰρ δὴ ἀφίκετο ἡ Μήδεια[5] ἐς Ἰωλκὸν αὐτίκα ἐπεβούλευε τῷ Πελίᾳ, τῷ ἔργῳ μὲν συμπράσσουσα τῷ Ἰάσονι[6] τῷ λόγῳ δὲ ἀπεχθανομένη·

Cap. XI. A Neptuni fano in saltum pervenias quercubus condensum; Pelagus nominant. Per medias quercus via a Mantinea Tegeam ducit, et inter Tegeatas quidem ac Mantinenses terminus est rotunda in populari via ara. (2) Quod si a Neptuni ad laevam deflectere malueris, stadium V. itinere confecto ad Peliae filiarum tumulos pervenias. Has Mantinenses narrant paternae necis invidiam fugientes huc se recepisse. Medea enim ubi primum Iolcon venit Peliae insidias machinata est, re quidem Iasoni ad regnum viam muniens, quum in eum tamen

Cap. XI. 1. *δρυιῶν* Vb. — *δὲ δὲ ὅροι* La. — *Τεγεάτας* Sylb. SB; *Τεγεάταις* edd. rell. MVabPcAgLab. Kuhnius Sylburgii correcturam ad praecedens *Τεγέαν* refert, quod a Siebelisio iam observatum est qui tamen ipse lapsus est.

2. *Εἰ δὲ* scripsimus e coni. B; cf. VI, 22, 8; *ἢν δὲ* edd. codd.; *θελήσῃς* Pors., quod probat S.

3. *ἥξεις* ABVabPcLab; *ἕξεις* XKFCSMAg. Praecedens *τε* inseruimus cum BPcAgLa.

4. *μετοικίσαι* coni. S et censor. Lips. Phrynichi Lobeckiani; *μετοικεῖσαι* Va. — Tum *ἐπὶ σφᾶς* dedimus e La; praepositionem om. rell.; *ἐς σφᾶς* coni. F; *ὡς σφ.* coni. B; *παρὰ σφ.* Sylb. Lobeck ad Phryn. p. 374.

5. *μηδία* Va. Ante *τῷ ἔργῳ* inserendum videtur *καὶ*, deleta distinctione post *ἀπεχθανομένη*.

6. *ἰάσωνι* Va. — *ἀπὲχθανομένη* M; *ἀπεχθονομένη* Vb; *ἐπεχθανομένη* Ag.

ἐπαγγέλλεται[7] τοῦ Πελίου ταῖς θυγατράσιν ὡς τὸν πα-
τέρα αὐταῖς, ἢν ἐθέλωσιν, ἀποφαίνοι[8] νέον ἀντὶ γέρον-
τος[9] παλαιοῦ. κατασφάξασα δὲ ὅτῳ δὴ τρόπῳ[10] κριὸν 621
τὰ κρέα ὁμοῦ φαρμάκοις ἐν λέβητι ἥψησεν, οἷς ἐκ[11] τοῦ
λέβητος τὸν κριὸν τὸν ἑψόμενον ἄρνα ἐξήγαγε ζῶντα.
παραλαμβάνει τε[12] δὴ τὸν Πελίαν κατακόψασα ἑψῆσαι, 3
καὶ αὐτὸν ἐξεκομίσαντο[13] αἱ θυγατέρες οὐδὲ ἐς ταφὴν
ἔτι ἐπιτήδειον. τοῦτο ἠνάγκασε τὰς γυναῖκας ἐς Ἀρκα-
δίαν μετοικῆσαι, καὶ ἀποθανούσαις τὰ μνήματα ἐχώσθη
σφίσιν αὐτοῦ·[14] ὀνόματα δὲ αὐταῖς ποιητὴς μὲν ἔθετο
οὐδείς, οἷά γε[15] ἐπελεξάμεθα ἡμεῖς, Μίκων δὲ ὁ ζω-

verbo hostili animo esse videretur. Persuadet itaque regiis puellis, earum parentem se medicamentis a summa senectute ad iuventutem revocaturam. Nam et vetulum arietem dedita opera iugulatum, quum inter venena coxisset, tenellum agnum dicitur e lebete eduxisse. Mox vero quum Pelian ipsum in frusta dissectum in ferventis aquae lebetem immisisset, senis corpus filiae ita resolutum recepere ut ne reliquum quidem quicquam esset quod sepulturae traderent. Hic casus ut in Arcadiam exilii causa abirent puellas adegit; ac fato quidem suo perfunctis sepulcra congesta terra ibi exstructa. Nomina virginum poetarum indicavit nemo eorum quos ipsi legimus. Mi-

7. ἀπαγγέλλεται Va; ὑπόσχηται Pc*. Post ἐπαγγέλλεται expunximus τε cum CSmai. BPcdMVabAg Lab; id in δὲ mutare mavult F. — θυγατρᾶσιν, ut saepius, M.

8. ἀποφαίνοι Va; ἀποφήνοι AX KFCBMVbPcAgLab; ἀποφῆναι S; ἀποφανοῖ Pors. Transpositis verbis ἀποφήνοι ὅτῳ τρόπῳ νέον Lobeck ad Phrynich. p. 374; idem tamen p. 763 ἀποφανοῖ probat.

9. γέροντος delendum censet F; γέροντος. Παλαιὸν δὲ κατασφ. ὅτῳ e coni. Kuhnii recepit C; ἀντεγέροντος La.

10. ὅτῳ δὴ τρόπῳ Pors.; probat S; δὴ om. edd. codd.

11. οἷς ἐκ MVabPcdAgLab; εἶτ' ἐκ edd. — τὸν κριὸν ἑψόμενον delet Pors., uncis includit B; τὸν post κριὸν addimus e Lab.

12. παραλαμβάνει τε δὴ Cor. B; παραλαμβάνει (παραμβάνει M) δὲ δὴ MVabPcdAgLab; παραλ. δὴ edd. rell. — πελία MVa. — κατακόψας MVabLb; genuina Pausaniae scriptura haec fuisse videtur: παραλαμβάνει τε δὴ τὸν Πελίαν καὶ κατακόψασα ἥψησε.

13. ἐξεκομίσαντο e coni.; ἐκομίσαντο edd. codd. — αἱ θυγατέρες inseruimus cum CSmai. BVaPcd; αἱ θυγατέραις AgLa; seq. ἔτι uncis sepsit S. — ἐπιτήδιον Va.

14. σφίσιν αὐτοῦ recepimus e La; σφίσιν αὐταῖς rell.; σφ. ταύτῃ coni. S; interea αὐταῖς uncis sepsit; σφ. ἐνταῦθα coni. B. Tota haec pagina in archetypo fuit corrupta multaque verba ita evanida ut singulas tantum literas legerent librarii vel ex ingenio restituerent; omnia vero restaurare non potuerunt.

15. οἷά γε ἐπελ. VaAgLab; οἷά γε πελεξ. A; οἷά γ' ἐπελ. rell.; ὅσα γ' malit B. — ἐπιλεξάμεθα MVab. — Cf. Apollod. I, 9, 10.

γράφος Ἀστεροπειάν τε εἶναι καὶ Ἀντινόην ἐπὶ ταῖς εἰκό-
4 σιν αὐτῶν ἐπέγραψεν.[16] (3) Χωρίον δὲ[17] ὀνομαζόμενον Φοίζων περὶ εἴκοσί που σταδίους τῶν τάφων ἐστὶν ἀπωτέρω τούτων· ** δὲ Φοίζων[18] μνῆμά ἐστι λίθου περιεχόμενον κρηπῖδι, ἀνέχον[19] δὲ οὐ πολὺ ὑπὲρ τῆς γῆς. κατὰ τοῦτο ἥ τε ὁδὸς μάλιστα στενὴ γίνεται, καὶ τὸ μνῆμα Ἀρηϊθόου λέγουσιν εἶναι Κορυνήτου διὰ τὸ ὅπλον
5 ἐπονομασθέντος. Κατὰ δὲ[20] τὴν ἐς Παλλάντιον ἐκ Μαντινείας ἄγουσαν προελθόντι ὡς τριάκοντά που σταδίους,[21] παρήκει κατὰ τοῦτο ἐς τὴν λεωφόρον ὁ τοῦ Πελάγους καλουμένου δρυμός· καὶ τὰ ἱππικὰ τῶν Ἀθηναίων τε[22] καὶ Μαντινέων ἐνταῦθα ἐμαχέσαντο ἐναντία τῆς Βοιωτίας ἵππου. (4) Ἐπαμεινώνδαν[23] δὲ ἀποθανεῖν Μαντινεῖς μὲν ὑπὸ Μαχαιρίωνος Μαντινέως[24] φασὶν ἀνδρός· ὡσαύ-

con certe pictor earum imaginibus Asteropean et Antinoen adscripsit. (3) Ab iis tumulis stadia ferme XX distat locus, qui Phoezorum (Phoezon) dicitur. ** Phoezorum tumulus crepidine circumseptus modice a terra surgit. Est ea in parte via valde angusta; monstrant incolae Areithoi sepulcrum, cui Corynetae, a clava qua in pugna utebatur, cognomen fuit. Iam secundum eam viam, qua Pallantium iter est a Mantinea stadia ferme XXX progressis, ad militarem viam pertingit ea quercuum silva, quae Pelagus appellatur. In eo loco equestres Atheniensium et Mantinensium copiae cum Boeotiorum equitatu conflixere. (4) Quum in eo proelio Epaminondas cecidisset Mantinenses a Machaerione suo cive occisum praedi-

16. ἐπέγραψεν B; ἐπέγραψε edd. rell. Lb.

17. μὲν pro δὲ Pc; ὀνομαζόμενον La. — οἴκοσί Va.

18. Cum B distinximus post τούτων lacunamque indicavimus; rell. distinguunt post ἀπωτέρω sine lacunae suspicione. Böckh. post Φοίζων inserendum putat πλησίον, S τῶν post τούτων δὲ; alias eiusdem coniecturas praetermittere praestat. Nos quid exciderit non divinamur. Seq. λίθου inseruimus cum BPcAg La.

19. ἀνέχων, ο sup. ω, Vb; ἀνέχονται Ag. — ἀρχιθόου — κορυνύτου et ἐπόνημα μασθέντος (sic) La.

20. κατὰ δὲ BPcAgLa; μετὰ δὲ edd. rell. MVabLb. — παλάντιον VabAgLb, quam formam non damnamus; cf. c. 3 not. 3.

21. σταδίου Va. — ὁ τοῦ bis La. — τὸ ἀθηναίων Lb; sic vel τὰ ἀθηναίων etiam La; ambigua enim est lectio.

22. τε om. MVa. — ἐμαχήσαντο La.

23. ἐπαμηνώνδαν MLb; etiam post; Ἐπαμινώνδαν rell.

24. μαντιναίως Lab et M sup. vers.

τως δὲ καὶ Λακεδαιμόνιοι Σπαρτιάτην[25] λέγουσιν εἶναι
τὸν ἀποκτείναντα Ἐπαμεινώνδαν, τίθενται δὲ Μαχαι-
ρίωνα[26] ὄνομα καὶ αὐτοὶ τῷ ἀνδρί. ὁ δὲ Ἀθηναίων ἔχει 6
λόγος (ὁμολογοῦσι δὲ αὐτῷ[27] καὶ Θηβαῖοι) τρωθῆναι
τὸν Ἐπαμεινώνδαν ὑπὸ Γρύλου·[28] παραπλήσια δέ σφι- 622
σίν ἐστι καὶ τὰ ἐν τῇ γραφῇ τῇ[29] τὸ ἔργον ἐχούσῃ τὸ
ἐν[30] Μαντινείᾳ. φαίνονται δὲ οἱ Μαντινεῖς Γρῦλον
μὲν[31] δημοσίᾳ τε θάψαντες καὶ ἔνθα ἔπεσεν ἀναθέντες
εἰκόνα ἐπὶ στήλης ὡς[32] ἀνδρὸς ἀρίστου τῶν συμμάχων·
Μαχαιρίωνα δὲ λόγῳ μὲν καὶ αὐτοὶ καὶ[33] οἱ Λακεδαι-
μόνιοι λέγουσιν, ἔργῳ δὲ οὔτε ἐν Σπάρτῃ Μαχαιρίων
ἐστὶν οὐδείς, οὐ μὴν οὐδὲ παρὰ Μαντινεῦσιν, ὅτῳ γε-
γόνασιν ὡς ἀνδρὶ ἀγαθῷ τιμαί. ὡς δὲ ἐτέτρωτο ὁ[34] 7
Ἐπαμεινώνδας, ἐκκομίζουσιν ἔτι ζῶντα ἐκ τῆς παρατάξεως
αὐτόν. ὁ δὲ τέως μὲν τὴν χεῖρα ἔχων ἐπὶ τῷ τραύματι[35]
ἐταλαιπώρει καὶ ἐς τοὺς μαχομένους ἀφέωρα, (ὁπόθεν
δὲ ἀπέβλεπεν ἐς αὐτοὺς ὠνόμαζον[36] Σκοπὴν οἱ ἔπειτα)

cant; Lacedaemonii Machaerionem hunc Spartanum fuisse contendunt. Sed Athenienses, quibus assentiuntur Thebani, transfossum a Grylo dictitant, attestante id pictura in qua Mantinensis pugna exposita est. Id et Mantinenses videntur sensisse, qui quum Grylum publico funere extulissent, eo loco quo cecidit, statuam in eius honorem posuerunt, quod prae omnibus sociis virtus eius enituisset. Machaerionem et Mantinenses nominant et Lacedaemonii; at neque Spartae, neque apud Mantinenses ipsos cuiquam virtutis ergo, cui fuerit Machaerioni nomen, honorem habitum comperi. Epaminondas quidem quum eum saucium sui ex acie retulissent, vulnus opposita manu compressit, pugnamque prospectans ex eo loco quem Speculam postera aetas ab ipsius facto appellavit, dolorem eousque

25. σκαριάτην Vb.
26. μαχαιρίων Va. — καὶ οὗτος La. — ὅδε ὁ ἀθηναίων Lb.
27. αὐτὸ Vb.
28. Γρύλου et mox Γρύλον Vab AgLab et sic constanter sec. nostra excerpta M; geminant λ edd. — κατὰ pro καὶ τὰ La.
29. τῇ addimus ex emendatione B.
30. τὸν ἐν Va.
31. δὲ pro μὲν Ag.
32. ἐπὶ στήλης BPcAg; ἐπιστόλης La; ἐπιστήμης MVabLb; ἐπὶ τιμῇ edd. rell. — Tum ὡς BPcAg Lab; ὅ Va; ὁ MVb; om. rell. — Mox λέγω pro λόγῳ Vb.
33. καὶ inseruimus ex emend. B. — ὡς post γεγόνασιν om. La.
34. ὁ addimus e Va. — De Epaminondae nomine vid. not. 23.
35. τράματι Va.
36. ὀνόμαζον Va.

λαβόντος[37] δὲ ἴσον τοῦ ἀγῶνος πέρας οὕτω τὴν χεῖρα
ἀπέσχεν[38] ἀπὸ τοῦ τραύματος, καὶ αὐτὸν ἀφέντα τὴν
8 ψυχὴν ἔθαψαν ἔνθα σφίσιν ἐγένετο ἡ συμβολή. (5) Τῷ
τάφῳ δὲ κίων τε ἐφέστηκε[39] καὶ ἀσπὶς ἐπ' αὐτῷ δρά-
κοντα ἔχουσα ἐπειργασμένον· ὁ μὲν δὴ[40] δράκων ἐθέλει
σημαίνειν γένους τῶν Σπαρτῶν καλουμένων εἶναι τὸν
Ἐπαμεινώνδαν.[41] στῆλαι δέ εἰσιν ἐπὶ τῷ μνήματι, ἡ μὲν
ἀρχαία καὶ ἐπίγραμμα[42] ἔχουσα Βοιώτιον, τὴν δὲ αὐτήν[43]
τε ἀνέθηκεν Ἀδριανὸς βασιλεὺς καὶ ἐποίησε τὸ ἐπίγραμμα
9 τὸ ἐπ' αὐτῇ. τὸν δὲ Ἐπαμεινώνδαν[44] τῶν παρ' Ἕλλησι
στρατηγίας ἕνεκα εὐδοκιμησάντων[45] μάλιστα ἐπαινέσαι τις
ἄν, ἢ ὕστερόν γε οὐδενὸς ποιήσαιτο. Λακεδαιμονίων
μὲν γὰρ καὶ Ἀθηναίων τοῖς ἡγεμόσι[46] πόλεών τε ἀξίωμα
ὑπῆρχεν ἐκ παλαιοῦ καὶ οἱ στρατιῶται φρονήματος [τὸ

pertulit donec aequatum vidit pugnae exitum. Inde quum amota manu animam efflasset, eo ipso in loco quo fuerat proelium commissum est sepulturae mandatus. (5) Eius tumulo imposita est columna cum scuto in quo draco caelatus est. Indicat hoc insigne Epaminondam ab iis ortum ducere, qui Sparti sunt nuncupati. Pilae vero in monumento duae eminent; prisci operis altera cum Boeotica inscriptione; alteram Adrianus Imperator dedicavit et inscriptionem ipse addidit. Et Epaminondam quidem gloria praestantibus apud Graecos Imperatoribus iure optimo parem potius quam inferiorem quovis ducas. Nam quum Lacedaemoniorum et Atheniensium ducibus priscus patriae splendor magno fuerit ad res magnas capessendas adiumento militesque ipsi ducum magnitudini virtute sua facile

37. *λαβόντες* K (vitio typoth.) Ag. — *χεῖραν* h. l. et paullo ante La.

38. *ἐπέσχεν* MVaLb; seq. *ἀπὸ* om. Suid. Va.

39. *ἐφέστηκεν* Ag.

40. *δὴ* om. Ag. — *τοῦ γένους* S e Suid. — *σπάρτων* Lb.

41. *ἐπαμινώνδα* Va; *ἐπαμηνώνδαν* AgLb; hic constanter hoc capite; *Ἐπαμιν.* rell.

42. — *μα ἔχουσα* usque *τεσσαράκ. δὲ ἀπὸ τῆς* cap. 12, 4. in Ag bis scripta sunt non sine varietate lectionis. — *βιώτιον* Va.

43. *τὴν δὲ καινὴν* Goldh.; *τὴν δὲ ἄλλην* Palm. Ms. et expuncto seq. *τε* C; *αὐτήν τε* delet Pors.; *τὴν δὲ αὐτῶν ἀνέθ.* coni. S; placet prae reliquis haec coniectura, cui favent MVab, qui *τε* omittunt; *τήν τε αὐτήν τε* Ag. 1.

44. *ἐπαμηνώνδαν* Ag. 2. Semel monuisse sufficiat, hoc nomen ubique a nobis per *ει* exaratum esse et quidem *sine* codicum suffragio ubi *tacite* hanc formam reposuimus. — *ἕλλησιν* Ag. 2. — *στρατηγείας* Vb.

45. *εὐδοκημησάντων* VbAg. — *ἐπαίνεσθαι* La.

46. *ἡγεμόσιν* Ag; *ἡγεμῶσι* La.

ἴσον][47] ἔχοντες· Θηβαίους δὲ Ἐπαμεινώνδας[48] ἀθύμους
τὰς γνώμας καὶ ἄλλων ἀκούειν εἰωθότας ἀπέφηνεν ἐν[49]
οὐ πολλῷ πρωτεύοντας. (6) Ἐγεγόνει δὲ τῷ Ἐπαμει- 10
νώνδᾳ μαντεία πρότερον ἔτι ἐκ Δελφῶν πέλαγος αὐτὸν
φυλάσσεσθαι· καὶ ὁ μὲν τριήρους τε μὴ[50] ἐπιβῆναι μηδὲ 622
ἐπὶ νεὼς φορτίδος πλεῦσαι δεῖμα εἶχε, τῷ δὲ[51] ἄρα Πέ-
λαγος δρυμὸν καὶ οὐ θάλασσαν προέλεγεν ὁ δαίμων.
χωρία δὲ τὰ[52] ὁμώνυμα καὶ Ἀννίβαν ὕστερον τὸν Καρ-
χηδόνιον καὶ πρότερον ἔτι[53] Ἀθηναίους ἠπάτησεν. Ἀν- 11
νίβᾳ γὰρ χρησμὸς ἀφίκετο παρὰ Ἄμμωνος[54] ὡς ἀποθα-
νὼν γῇ καλυφθήσεται τῇ[55] Λιβύσσῃ. ὁ μὲν δὴ ἤλπιζεν[56]
ἀρχήν τε τὴν Ῥωμαίων καθαιρήσειν καὶ οἴκαδε ἐς τὴν
Λιβύην[57] ἐπανελθὼν τελευτήσειν γήρᾳ τὸν βίον. Φλα-

responderint, Epaminondas Thebanos, quos rebus suis maxime diffidentes nactus fuerat et aliarum Graeciae civitatum imperiis assuefactos, brevi ad principatus gloriam evexit. (6) Acceperat is iampridem ex Delphici Apollinis oraculo, Pelagus sibi cavendum. Quare fuit illi praecipue cautio, ne aut triremibus, aut oneraria unquam navi veheretur. At praemonuerat deus non mare, sed saltum eum devitandum cui Pelagus nomen. Haec nominum ambiguorum similitudo Annibalem postea Carthaginensem et Athenienses antea fefellit. Annibali quidem oraculum redditum fuerat ex Ammonis fano, fore ut mortuus Libyssa humo contegeretur. Quare in spem venerat, deleto Romanorum imperio in patria se postremum vitae diem exacta iam aetate clausurum. Atenim quum Flaminius illum ex foedere vivum

47. φρονήματος τὸ ἴσον ἔχοντες AXKFCBPc(?); quod expellere noluimus; τὸ ἴσον tamen inter uncos posuimus auctore La, qui φρονήματος ἔχοντες habet; φρονήματος ἦσαν ἔχοντες SMVa; φρον. τὸ ἦσαν (ησαν sine spiritu et accentu Ag) ἔχοντες VbAg; τὸ ησανεχοντες, sic, Lb; φρόνημα vult B; at profundius cubare vitium videtur.

48. ἐπαμηνώνδας Ag. 2.

49. ἐν addunt Pors. Smai. et inter uncos C. — προτεύοντας Ag La.

50. μὴ om. Suid. Smin. MVaLb; C duplicem habet coniecturam: τριήρους τε ἐπιβῆναι, εἰ δὲ ἐπὶ νεὼς in marg. editionis, et τριήρ. τε ἐπιβῆναι ἠδὲ ἐπὶ in supplementis. „Quidni μήτε τριήρους ἐπιβῆναι, μήτε ἐπὶ ν. φ. κλ.“ S, quod prae reliquis placet. — νηὸς Vb.

51. τῷ δὲ Suid. SBPcAgLab; τὸ δὲ edd. rell. MVab.

52. τὰ om. Suid. S. — καρχιδόνιον Va; καρχηδώνιον Vb.

53. ἔτι om. Vb. — ἀθηναίοις Va. ἀννίβω Lb.

54. παρ' ἀμώνος Va. — ὡς <καθαιρήσειν> ἀποθανὼν Lb.

55. τῇ om. Suid. Smai. — λιβήσση Vb; λιβῆσση, sic, M; λυβήσσῃ Ag.

56. ἤλπισεν Suid.

57. λιβύειν Va. — σπουδεῖν La.

μινίου δὲ τοῦ Ῥωμαίου ποιουμένου σπουδὴν ἑλεῖν ζῶντα
αὐτὸν, ἀφικόμενος παρὰ Προυσίαν ἱκέτης καὶ ἀπωσθεὶς[58]
ὑπ' αὐτοῦ ἀνεπήδα τε ἐπὶ τὸν ἵππον καὶ γυμνωθέντος
τοῦ ξίφους τιτρώσκεται τὸν δάκτυλον. προελθόντι δέ
οἱ στάδια οὐ πολλὰ πυρετός τε ἀπὸ τοῦ τραύματος καὶ
ἡ[59] *τελευτὴ τριταίῳ συνέβη· τὸ δὲ χωρίον ἔνθα ἀπέ-*
12 *θανε*[60] *καλοῦσιν οἱ Νικομηδεῖς Λίβυσσαν. Ἀθηναίοις δὲ*
μάντευμα ἐκ Δωδώνης Σικελίαν ἦλθεν οἰκίζειν·[61] *ἡ δὲ*
οὐ πόῤῥω τῆς πόλεως ἡ Σικελία λόφος[62] *ἐστὶν οὐ μέ-*
γας. οἱ δὲ οὐ συμφρονήσαντες τὸ εἰρημένον ἔς τε ὑπερ-
ορίους[63] *στρατείας προήχθησαν καὶ ἐς τὸν Συρακοσίων*[64]
πόλεμον. ἔχοι δ' ἂν τις καὶ πλείονα[65] *τοῖς εἰρημένοις*
ἐοικότα ἄλλα ἐξευρεῖν.

sibi dedi postulasset, a Prusia Bithyniae rege, ad quem supplex confugerat, reiectus quum in equum ascenderet sponte ense nudato digitum laesit; atque inde non multorum sane stadiorum itinere confecto quum eius vulneris inflammationem febris esset consecuta tertio post die interiit. Oraculi itaque vocem fatalis vici nomen implevit. Libyssam enim Nicomedenses appellabant. Atheniensibus etiam responsum e Dodona redditum fuerat, Siciliam coloniam deducendam. Non longe ab urbe aberat terrae non sane magnus tumulus cui Siciliae nomen; at illi oraculi vocem alio trahentes extra fines bellum inferre ausi apud Syracusas magna clade temeritatem suam luere. Sed persimilis errationis multa colligi possint exempla.

58. *ἀπωθεὶς* MVa; *ἀποσθεὶς* Ag. — *ἀπ' αὐτοῦ* Suid. — *γυμνοθέντος* et *προελθόντα* La.

59. *ἡ* om. Vb.

60. *ἀπέθανεν* Ag. — *νικομιδεῖς* Vab; *νικωμηδεῖς* Ag.

61. *μάντευμα ἦλθεν ἐκ Δωδ.*, *Σικελίαν οἰκίζειν* Suid. S.

62. *φίλος* pro *λόφος* Vb. — *οὐ σύμφων οὐ συμφρονήσαντες* La.

63. *ὑπερορίους* Suid. SB; *ὑπερορείους* CPc*PdMVaLab; *ὑπερωρείους* Vb; *ὑπερορίας* edd. rell.; *ὑπερορίους στρατ. πρ. καὶ ἐς* om. Ag. — *στρατιὰς* Suid.

64. *Συρακοσίων* BPcLab, quam formam meliores Pausaniae codices multis in locis praeferunt; *συῤῥακουσίων* Ag 2. Vb; *Συρακουσίων* rell. — *ἔχει* MVab.

65. *πλείωνα* Va, unde scripsimus *πλείονα*; *πλέωνα* VbLab; *πλέονα* edd. PcMAg. — *ἐξευρεῖν ἄλλα* M Va.

CAPUT XII.

De templo Iovis Charmonis, vario quercuum genere in saltibus Arcadum et vico Methydrio — campo Alcimedonte et Alcimedonte heroë eiusque filia Phillo — loco Petrosaca dicto — viis Orchomenum versus, Ladae stadio et Penelopes tumulo — priscae Mantineae et vici Maerae reliquiis — monte Anchisia et Anchisae monumento.

Τοῦ τάφου δὲ τοῦ Ἐπαμεινώνδα μάλιστά που σταδίου[1] *μῆκος Διὸς ἀφέστηκεν ἱερὸν ἐπίκλησιν Χάρμωνος.*[2] *Ἀρκάδων δὲ ἐν*[3] *τοῖς δρυμοῖς εἰσὶν αἱ δρῦς*[4] *διάφοροι, καὶ τὰς μὲν πλατυφύλλους αὐτῶν, τὰς δὲ φηγοὺς*[5] *καλοῦσιν· αἱ τρίται δὲ ἀραιὸν τὸν φλοιὸν*[6] *καὶ οὕτω δή τι παρέχονται κοῦφον ὥστε ἀπ'*[7] *αὐτοῦ καὶ ἐν θαλάσσῃ ποιοῦνται σημεῖα ἀγκύραις καὶ δικτύοις.*[8] *ταύτης δὲ* 624
τῆς δρυὸς τὸν φλοιὸν ἄλλοι τε Ἰώνων καὶ Ἑρμησιάναξ[9] *ὁ τὰ ἐλεγεῖα ποιήσας φελλὸν ὀνομάζουσιν.* *Ἐς Μεθύ-* 2
δριον δὲ πόλιν μὲν οὐκ ἔτι, κώμην[10] *δὲ ἐς τὸ Μεγαλοπολιτικὸν συντελοῦσαν, ἐς τοῦτό ἐστι τὸ Μεθύδριον ἐκ Μαντινείας ὁδός.* (2) *Προελθόντι δὲ σταδίους τριά-*

Cap. XII. Ab Epaminondae sepulcro haud amplius uno stadio distat Iovis templum Charmonis cognomine. In Arcadum saltibus quercus diversa inter se forma sunt. Earum alias a latiore folio platyphyllos, alias fagos nuncupant. Tertium est genus tam raro et levi cortice, ut ex eo anchorarum in mari indices et fundarum faciant. Iones reliqui et Hermesianax elegorum poeta phellon (id est suberem) eum ipsum corticem nominant. Ad Methydrium, non sane amplius oppidum sed vicum Megalopolitarum ditionis, via e Mantinea perducit. (2) Pro-

Cap. XII. 1. *ἐπαμινώνδου* La; *σταδίων* Vb, *ου* sup. *ων*.

2. *χαίμωνος* M; *χάλμονος* Va; *χάρμονος* Vb.

3. *δὲ ἐν* VaAgLab; *δ' ἐν* rell.

4. *δρεῖς* VbAg (in Vb *υ* supra lin.)

5. *φυγοὺς* Vb; *φοιγοὺς* Ag.

6. *φλοῖν* A. *οὕτως* AgLa; tum *δή τι* BPcAgLab, unde *τι* recepimus, quod om. rell.

7. *ἐκ'* VabM.

8. *δυκτύοις* VaLa; *δυκτίοις* Vb. — Tum *ταύτας* Va; sequens *δὲ* inseruimus e VaM. — *φλυὸν* Lb.

9. *ἑρμιάναξ* Vb; mox *φελὸν* Ag.

10. *κόμην* Vb; sq. *ἐς* om. La; deinde *Μεθίδρυον* Vb.

κοντα πεδίον τε ὀνομαζόμενον Ἀλκιμέδων[11] καὶ ὑπὲρ τοῦ
πεδίου τὸ ὄρος ἐστὶν ἡ Ὀστρακίνα, ἐν δὲ αὐτῷ σπήλαιον
ἔνθα ᾤκησεν[12] Ἀλκιμέδων, ἀνὴρ τῶν καλουμένων ἡρώων.
3 τούτου τοῦ Ἀλκιμέδοντος θυγατρὶ[13] συγγενέσθαι Φιαλοῖ,
ὡς[14] Φιγάλιοι λέγουσιν, Ἡρακλέα· ὡς δὲ ᾔσθετο αὐτὴν
ὁ Ἀλκιμέδων τεκοῦσαν, ἐκτίθησιν ἀπολουμένην[15] ἐς τὸ
ὄρος, σὺν δὲ αὐτῇ[16] καὶ τὸν παῖδα ὃν ἔτεκε· καλοῦσι
δὲ Αἰχμαγόραν αὐτὸν οἱ Ἀρκάδες· ἀνακλαίοντος[17] δὲ ὡς
ἐξέκειτο τοῦ παιδὸς, κίσσα ἡ ὄρνις ἐπήκουέ τε ὀδυρο-
4 μένου καὶ ἀπεμιμεῖτο[18] τὰ κλαύματα· καί πως ὁ Ἡρα-
κλῆς ἐρχόμενος τὴν ὁδὸν ταύτην ἐπήκουσε τῆς κίσσης,[19]
καὶ (ἐνόμισε γὰρ παιδὸς εἶναι καὶ οὐκ ὄρνιθος τὸν κλαυ-
θμὸν) ἐτράπετο εὐθὺ[20] τῆς φωνῆς· γνωρίσας δὲ αὐτήν
τε ἔλυσεν τῶν δεσμῶν καὶ τὸν παῖδα ἀνεσώσατο. ἐξ
ἐκείνου δὲ ἡ πλησίον πηγὴ Κίσσα ἀπὸ τῆς ὄρνι-
θος ὀνομάζεται. (3) Τεσσαράκοντα δὲ ἀπὸ τῆς πηγῆς
στάδια ἀφέστηκε[21] Πετρωσάκα καλούμενον χωρίον·

gressos stadia XXX campus excipit, cui nomen Alcimedon, supra quem mons Ostracina; in quo antrum ubi Alcimedon habitavit. Fuit hic de heroibus unus, cuius filiam nomine Phialonem vitiatam ab Hercule Phigalii memorant; a patre vero statim a puerperio in proximum montem feris expositam cum puero. Ibi vagientem infantem quum pica imitaretur, ad avis vocem, quod puerilem esse credidisset, Herculem forte illac iter habentem conversum puellam et a se genitum puerum (quem Aechmagoram appellatum tradunt) agnovisse ambosque vinculis liberasse. De rei eventu fontem proximum Cissam (id est picam) nuncupatum. (3) Ab hoc fonte stadia XL abest

11. ἀλκιμίδων Va.
12. ᾤκισεν VabLab; οἴκησεν; ὠ sup. οἰ, M.
13. θυγαστρὶ Vb abest ab Ag. Tum Φιαλοῖ Valcken. ad Herod. VI, 83. B; Φυλλοῖ s. Φιλοῖ Sylb.; Φιλλοῖ edd. rell. VabMPcAgLab; mox οἰρακλέα Ag.
42. *ἔστι πρότ.* Ag. — *ἔτι πρότ.* Lb; ad rem cf. Clinton. F. H. p. 118. Krüg. — *ἐν* post *παρέσχεν* om. La.

Ἀστείου δὲ Ἀθήνῃσιν ἄρχοντος. καὶ ἡ μὲν πόλις ὑπὸ
714 τῶν Θηβαίων καθῃρέθη πλὴν τὰ ἱερά, τοῖς δὲ Πλαταιεῦσιν ὁ τρόπος τῆς ἁλώσεως σωτηρίαν παρέσχεν ἐν ἴσῳ πᾶσιν· ἐκπεσόντας δὲ σφᾶς ἐδέξαντο αὖθις οἱ Ἀθηναῖοι. Φιλίππου δὲ ὡς ἐκράτησεν ἐν Χαιρωνείᾳ[43] φρουράν τε ἐσαγαγόντος ἐς Θήβας καὶ ἄλλα ἐπὶ καταλύσει τῶν Θηβαίων πράσσοντος,[44] οὕτω καὶ οἱ Πλαταιεῖς ὑπ' αὐτοῦ κατήχθησαν.

CAPUT II.

Hysiarum et Erythrarum urbium reliquiae — Mardonii sepulcrum — Actaeonis petra et de Actaeone narratio — tumuli occisorum in pugna Plataeënsi et ludi Eleutheria dicti — de memorandis urbis Plataeae, Iunonis *Τελείας* templo et signo.

Γῆς δὲ τῆς Πλαταιΐδος[1] ἐν τῷ Κιθαιρῶνι ὀλίγον τῆς εὐθείας ἐκτραπεῖσιν ἐς δεξιὰ Ὑσιῶν καὶ Ἐρυθρῶν ἐρείπιά ἐστι. πόλεις δέ ποτε τῶν Βοιωτῶν ἦσαν, καὶ νῦν ἔτι ἐν τοῖς ἐρειπίοις τῶν Ὑσιῶν ναός ἐστιν Ἀπόλλωνος ἡμίεργος[2] καὶ φρέαρ ἱερόν· πάλαι δὲ ἐκ τοῦ φρέα-

Athenis Asteo principatum obtinente. Urbs tota a Thebanis praeter deorum templa excisa est. Excidii modus civibus aeque omnibus saluti fuit. Eiecti enim primum ab Atheniensibus iterum recepti fuere; deinde Philippus victoria apud Chaeronean parta quum Thebanis praesidium imposuisset ac omnia ad eorum perniciem moliretur, ipsos etiam tunc Plataeenses in pristinas sedes reduxit.

Cap. II. Agri quidem Plataici sub Cithaerone paululum a recta digressis ad laevam Hysiarum et Erythrarum rudera sunt. Urbes olim Boeotorum fuere, ac nunc etiam inter Hysiarum ruinas Apollinis templum est dimidiata sui parte perfectum. Sacer praeterea puteus; de quo (uti Boeoti ipsi ser-

43. *χερωνία* MLb; *χερωνεία* Va AgLa; *χεῤῥωνεία* Vb. Tum *ἐσάγοντος* VaM (sec. exc. nostra); *ἐσαγόντος* VbM (sec. S.).

44. *πράσσοντας* VbLb; *πράσσοντες* Va (ες correctum est, ut videtur in ας); *πράσοντος* Ag.

Cap. II. 1. *πλαταΐδος* La; tum *ὑσιῶν* id.; *δεξιὰν ὑσίων* Ag (etiam postea *ὑσίων* AgLb). — *πόλις* Lb; sq. *δὲ* addimus e La.

2. *ἡμιεργὸς* Ag.

τος κατὰ τὸν[3] Βοιωτῶν λόγον ἐμαντεύοντο πίνοντες. (2) Ἐπανελθοῦσι δὲ ἐς τὴν λεωφόρον ἔστιν αὖθις ἐν 2
δεξιᾷ Μαρδονίου[4] λεγόμενον μνῆμα εἶναι. καὶ ὅτι μὲν εὐθὺς ἦν μετὰ τὴν μάχην ἀφανὴς[5] ὁ Μαρδονίου νεκρὸς ἔστιν ὡμολογημένον, τὸν δὲ θάψαντα οὐ κατὰ ταὐτὰ[6] ὅστις ἦν λέγουσι. φαίνεται δὲ Ἀρτόντης[7] ὁ Μαρδονίου πλεῖστα μὲν δοὺς Διονυσοφάνει δῶρα ἀνδρὶ Ἐφεσίῳ, δοὺς μέντοι καὶ ἄλλοις Ἰώνων ὡς[8] οὐδὲ ἐκείνοις ἀμελὲς γενόμενον ταφῆναι Μαρδόνιον. αὕτη μὲν ἀπ' Ἐλευθερῶν[9] ἐς Πλάταιαν ἄγει. (3) Τοῖς δὲ ἐκ 3
Μεγάρων[10] ἰοῦσι πηγή τέ ἐστιν ἐν δεξιᾷ καὶ προελθοῦσιν ὀλίγον πέτρα·[11] καλοῦσι δὲ τὴν μὲν Ἀκταίωνος κοίτην ἐπὶ ταύτῃ καθεύδειν φάμενοι τῇ πέτρᾳ τὸν Ἀκταίωνα ὁπότε κάμοι[12] θηρεύων, ἐς δὲ τὴν πηγὴν ἐνιδεῖν λέ-

mone suo vulgarunt) bibentes olim vaticinabantur. (2) Hinc in militarem viam reversi offendant ad dexteram Mardonii quod esse aiunt sepulcrum; cadaver quidem Mardonii statim a proelio e conspectu sublatum fuisse consentiente ab omnibus voce proditum est, sed in eo qui sepelierit non item consentiunt. Satis illud constat Artontem Mardonii filium luculenta dona Dionysophani homini Ephesio et aliis quibusdam Ionici nominis dedisse, ut nec illis Mardonii sepeliendi curam negligentibus. Atque haec quidem via ab Eleutheris Plataean ducit. (3) Eodem vero Megaris contendentibus ad dexteram fons et paulo progressis longius saxum est; Actaeonis cubile nuncupant. Nam super eo dormire Actaeonem solitum dicunt a venatione fatigatum, atque inde Dianam in fonte proximo la-

3. τὸν Sylb. KFCSBAgPcLb, τῶν AXVabMLa. Tum ἐματεύοντο Va.

4. μαρδωνίου hic et postea Vb.

5. ἀφανεὶς Vab; mox ὁμολογημένον Vb.

6. ταῦτα VbLb; tum λέγουσιν AgM.

7. αὐτόντης Va; ἀντόντης MAg Lb; φαίνεται ἀρόντης La. Mox δοὺς BPcAgLab; idem coniectura assecutus est S; διδοὺς edd. rell. VaM; δι (fin. lin.) διδοὺς Vb.

8. ὡς, om. Va. Deinde ἐμελὲς γινόμενον Ag.

9. Ἐλευθέρων AVabLab. — πλαταιὰς Va; πλαταίαν VbLab; deinde ἄγειν Vb, expuncto ν.

10. μαγάρων M; ἰοῦσιν Ag. — mox προςελθοῦσιν Lb.

11. πέτρα Am. Cod. Casaub. FC SBVaMPcAgLab; πέτραν Vb; πέραν AXK. Mox Ἀκταίωνος κοίτην, ἐπὶ B; Ἀκταίωνος, καὶ τὴν ἐπὶ Pc VaMAgLb; Ἀκταίωνος, καὶ ἐπὶ edd. rell. VbLa. Nobis pro καὶ τὴν in mentem venerat κλίνην. — ταύτην La. — Porro φάμενοι τῇ B; φασὶν οἱ τῇ PcMAgLb; φασὶν οἱ τὴν Va; φασὶν τῇ Vb; φασὶ τῇ edd. rell.; καθεύδει φασὶν τὸν ἀκτ. τὴν πέτρα La.

12. κάμῃ Vb, οι sup. η.

γουσιν αὐτὸν λουμένης[13] Ἀρτέμιδος ἐν τῇ πηγῇ. Στησίχορος[14] δὲ ὁ Ἱμεραῖος ἔγραψεν ἐλάφου περιβαλεῖν δέρμα Ἀκταίωνι τὴν θεὸν, παρασκευάζουσάν οἱ τὸν ἐκ τῶν κυνῶν[15] θάνατον, ἵνα δὴ μὴ γυναῖκα Σεμέλην[16]
4 λάβοι. ἐγὼ δὲ ἄνευ θεοῦ πείθομαι νόσον λύσσαν τοῦ[17] Ἀκταίωνος ἐπιλαβεῖν τοὺς κύνας· μανέντες δὲ καὶ οὐ διαγινώσκοντες[18] διαφορήσειν ἔμελλον πάντα τινὰ ὅτῳ περιτύχοιεν. καθότι δὲ τοῦ Κιθαιρῶνος Πενθεῖ τῷ Ἐχίονος[19] ἐγένετο ἡ συμφορὰ, ἢ Οἰδίποδα ὅπῃ[20] τεχθέντα ἐξέθεσαν, οἶδεν οὐδεὶς, καθάπερ γε[21] ἴσμεν τὴν Σχιστὴν
715 ὁδὸν τὴν ἐπὶ Φωκέων, ἐφ' ᾗ τὸν πατέρα Οἰδίπους ἀπέκτεινεν, [ὁ δὲ Κιθαιρὼν τὸ ὄρος Διὸς ἱερὸν Κιθαιρωνίου[22] ἐστὶν] ἃ δὴ καὶ ἐς πλέον ἐπέξειμι ἐπειδὰν ἐς αὐτὰ ὁ λόγος καθήκῃ[23] μοι. (4) Κατὰ δὲ τὴν ἔσοδον

vantem aspexisse. Stesichorus Himeraeus Actaeonem a Diana cervi pelle circumdatum scripsit, incitatis ad eum lacerandum canibus ne Semelen uxorem duceret. Ego vero sine deae instinctu Actaeonis canes rabie correptos credo eosque quum in furore neminem internoscerent, obvium quemque fuisse discerpturos. Qua in parte Cithaeronis Pentheo Echionis filio pernicies evenerit, aut recens natus Oedipus ubinam expositus fuerit, novit plane nemo; nam bivium non ignoramus in quo patrem Oedipus occidit. In Phocensibus enim vulgo monstratur. Est Cithaeron Cithaeronio Iovi sacer, de quo tunc agemus copiosius quum ad ea quae illic exstant pervenerit oratio. (4) Circa ipsum prope ad Plataean aditum sepulcra eo-

13. *λουομένης* VaAg.

14. *στησίχωρος* VbMAgLb; *ἡμεραῖος* VbM.

15. *κοινῶν* M. — Sq. *δὴ* om. Ag.

16. *σεμέλη* Vb; mox *θεῶν* Vb, *οὗ* sup. *ὧν*.

17. *τὴν* Vb.

18. *διαγινώσκοντες* VaAgLab; *διαγιγν.* edd. M(?)VbPc(?).

19. *ἐχίωνος* VbLa.

20. *ὅπῃ* BPcLa; *ὅποι* edd. rell. MVabLb; silet Ag.

21. *γε* inseruimus cum BPcLab. Mox ὁ *οἰδίπους* La. — *κιθαίρων* La.

22. „*κιθαιρωνίας* PcAgLb, quod et ipsum verum est, siquidem exciderunt nonnulla inter *Κιθαιρωνίου* et *Κιθαιρωνίας*“ B. Sane non satis expeditus videtur locus, quum verba *ἃ δὴ* etc. quo apte referantur non habeant, nec de Cithaeronio Iove alio loco mentio fiat. Nobis quidem *ὁ δὲ Κιθαιρὼν* — *Κιθαιρωνίου ἐστὶν* additamentum loco alieno insertum, et *ἃ δὴ* cet. ad Oedipodis historiam referendum videtur. Vid. X, 5, 2. Nos interea verba turbantia tanquam e margine illata uncis circumscripsimus. Cf. Vol. II, p. XVI.

23. *καθήκῃ μοι* Pors. Cor. SB PcAg(?)La; *καθήκει μοι* edd. rell. VbM; *καθήκειμι* Va; *καθήκοι μοι* Lb.

μάλιστα τὴν ἐς Πλάταιαν[24] τάφοι τῶν πρὸς Μήδους
μαχεσαμένων[25] εἰσί. τοῖς μὲν οὖν λοιποῖς ἐστιν Ἕλ-
λησι μνῆμα κοινόν,[26] Λακεδαιμονίων δὲ καὶ Ἀθηναίων
τοῖς πεσοῦσιν ἰδίᾳ τέ εἰσιν οἱ[27] τάφοι καὶ ἐλεγεῖά ἐστι
Σιμωνίδου γεγραμμένα ἐπ' αὐτοῖς. οὐ πόῤῥω δὲ ἀπὸ
τοῦ κοινοῦ τῶν Ἑλλήνων Διός[28] ἐστιν Ἐλευθερίου βω-
μός· τούτους[29] μὲν δὴ χαλκοῦ, τοῦ Διὸς δὲ τόν τε βω-
μὸν καὶ τὸ ἄγαλμα ἐποίησαν λευκοῦ λίθου. ἄγουσι δὲ 6
καὶ νῦν ἔτι ἀγῶνα διὰ ἔτους πέμπτου, τὰ[30] Ἐλευθέρια,
ἐν ᾧ μέγιστα γέρα[31] πρόκειται δρόμου· θέουσι δὲ ὡπλι-
σμένοι πρὸ τοῦ βωμοῦ. τρόπαιον δὲ ὃ[32] τῆς μάχης τῆς
Πλαταιᾶσιν ἀνέθεσαν οἱ Ἕλληνες, πεντεκαίδεκα σταδίοις
μάλιστα ἕστηκεν ἀπωτέρω τῆς πόλεως.

(5) Ἐν αὐτῇ δὲ τῇ πόλει προϊοῦσιν ἀπὸ τοῦ βω- 7
μοῦ καὶ τοῦ ἀγάλματος ἃ τῷ Διῒ πεποίηται τῷ Ἐλευ-
θερίῳ, Πλαταίας[33] ἐστὶν ἡρῷον· καί μοι[34] τὰ ἐς αὐ-

rum spectantur, qui cum Persis pugnantes ceciderunt. Ac reliquis sane Graecis unum est et commune conditorium, at Lacedaemoniis et Atheniensibus eo proelio peremptis sui separatim sunt tumuli et in illis inscripti Simonidis elegi. A communi illo Graecorum monumento non procul ara dicata fuit Iovi Eleutherio. Sepulcra quidem ex aere facta, Iovis ara et signum e candido lapide. Ad eam aram ludos quinto quoque anno Eleutheria etiamnum faciunt maximis de cursu propositis praemiis. Armati ante aram decurrunt. Trophaeum quod a Plataeensi pugna victores Graeci erexere, XV ut plurimum stadia ab urbe distat. (5) Intra urbem ipsam quum introieris, ea parte qua ara est signum Iovis Eleutherii, Plataeae heroicum videas monumentum. De ea iam ante et

24. *Πλαταιὰν* Va; *Πλαταίαν* Vb Lab.

25. *μαχεσομένων* Lb; *εἰσὶν* Ag; mox *ἕλλησιν* id.

26. *κενὸν* Vb.

27. *τέ ἐστιν οἱ* Vb. *ἐλεγεῖά εἰσι* La.

28. *τῶν Ἑλλήνων τάφου τρόπαιον καὶ Διὸς* coni. C.

29. *τούτους* e coni.; *τούτου* Va MLb; *τούτων* AXVb; *τοῦτον* Sylb. KFCBAgLa; *τοῦτο* S; *βωμός τούτων* Palm. („mendosa vox pro qua legit Amas. *τάφον* .... Desunt aliorum Deorum nomina post *βωμός*.“ Palm.Ms.); tum *χαλκοῦν* VbLa.

30. *δὲ* ante *Ἐλευθέρια* delent Schneider Cor. BPcLa; in *δὴ* mutat Sylb.

31. *γέρα* BVaMPcRAgLa; idem haud dubie voluit C, in quo vitiose: *τὰ γέρα Ἐλευθέρια, ἐν ᾧ μέγιστα πρόκειται*; *δῶρα* edd. rell. Vb, marg. R; *γέρη* Lb.

32. *ὃ* om. VaLb; mox *τοῖς πλαταιεῦσιν* Va; *τῆς τοῖς πλατ.* Lb. De *Πλαταίασιν* et *Πλαταιᾶσιν* iam est monitum non uno loco.

33. *Πλαταιᾶς* VaM.

34. *καίτοι* Lb; tum *ἐς αὐτὴν* vel

τὴν ἤδη, τὰ λεγόμενα καὶ ὁποῖα αὐτὸς[35] εἴκαζον, ἔστιν εἰρημένα. Πλαταιεῦσι δὲ ναός ἐστιν Ἥρας θέας ἄξιος μεγέθει τε[36] καὶ ἐς τῶν ἀγαλμάτων τὸν κόσμον. ἐσελθοῦσι μὲν Ῥέα τὸν πέτρον κατειλημένον[37] σπαργάνοις, οἷα δὴ τὸν παῖδα ὃν ἔτεκε, Κρόνῳ κομίζουσά[38] ἐστι· τὴν δὲ Ἥραν Τελείαν καλοῦσι, πεποίηται δὲ ὀρθὸν μεγέθει ἄγαλμα μέγα· λίθου δὲ ἀμφότερα τοῦ Πεντελησίου, Πραξιτέλους δέ ἐστιν ἔργα. ἐνταῦθα[39] καὶ ἄλλο Ἥρας ἄγαλμα καθήμενον Καλλίμαχος ἐποίησε· Νυμφευομένην δὲ τὴν θεὸν ἐπὶ λόγῳ τοιῷδε ὀνομάζουσιν.

CAPUT III.

De Iunone Nympheuomene dicta narratio — quaenam signa antiquitus Daedala dicta, et inde Daedalum artificem nomen accepisse asseritur — de festi Daedalorum ratione — de festis Daedalorum minorum et maiorum — antrum Nympharum Cithaeronidum, Sphragidium dictum.

Ἥραν ἐφ᾽ ὅτῳ[1] δὴ πρὸς τὸν Δία ὠργισμένην ἐς Εὔ-
716 βοιάν φασιν ἀναχωρῆσαι, Δία δέ, ὡς οὐκ ἔπειθεν αὐ-

quae dicantur et quae ipse opiner exposui. Habent Plataeenses Iunonis aedem spectatu dignissimam tam magnitudine quam signorum ornatu. In primo ingressu Rhea saxum fasciis involutum pro puero quem pepererat, ad Saturnum defert. Templi numen Telean (adultam) Iunonem vocant. Recto statu fabricatum signum est ingenti prope magnitudine. Signum utrumque e Pentelico lapide Praxiteles fecit. Sedentem vero Iunonem eodem in templo fecit Callimachus. Nympheuomenen (Desponsatam) nominant ob huiusmodi rei eventum.

Cap. III. Iunonem aiunt iratam Iovi, incertum qua de causa, in Euboeam secessisse; Iovem, quum placare eam

ἐπ᾽ αὐτῇ Sylb.; illud nos recepimus cum BPcAg(?); hoc probat Cor.; ἐπ᾽ αὐτὴν edd. rell. VabMLb; ἐπ᾽ αὐτὸν La. Mox ἤδη τε λεγ. Cor. Nos cum B distinximus post ἤδη, rell. post λεγόμενα.

35. αὐτὸς Sylb. CSBLa; αὐτοὶ edd. rell. VabMPcAgLb.

36. δὲ LbVab; θέας τε ἀξ. μεγέθει τε καὶ ἐς τὸν ἀγ. La.

37. κατειλημένον Valck. Pors. Cor. SBPcVaMAg; κατειλημμένον edd. rell. VbLab.

38. νομίζουσα Ag; mox καλοῦσιν MAg; πεποίητε La.

39. Post ἐνταῦθα distinguunt AXK, καθήμενον om. La.

Cap. III. 1. ἐφ᾽ ὅτω Am. Sylb. FCSBPcVabMAgLab; ἐφ᾽ ὅσῳ AXK. — ἀναχωρῆσαι φασὶν La. Tum

τήν, παρὰ Κιθαιρῶνα λέγουσιν ἐλθεῖν δυναστεύοντα ἐν Πλαταιαῖς τότε· εἶναι γὰρ τὸν[2] Κιθαιρῶνα οὐδενὸς σοφίαν ὕστερον. οὗτος οὖν κελεύει τὸν Δία ἄγαλμα ξύλον ποιησάμενον ἄγειν ἐπὶ βοῶν ζεύγους ἐγκεκαλυμμένον, λέγειν δὲ ὡς ἄγοιτο[3] γυναῖκα Πλάταιαν τὴν Ἀσωποῦ,[4]
καὶ ὁ μὲν ἔπρασσε κατὰ τὴν παραίνεσιν τοῦ Κιθαιρῶ- 2
νος, Ἥρα δὲ ἐπέπυστό τε αὐτίκα καὶ αὐτίκα ἀφίκετο.[5] ὡς δὲ ἐπλησίαζε τῇ ἁμάξῃ[6] καὶ τοῦ ἀγάλματος τὴν ἐσθῆτα περιέῤῥηξεν, ἥσθη τε τῇ ἀπάτῃ ξόανον εὑροῦσα ἀντὶ νύμφης γυναικός, καὶ διαλλαγὰς ποιεῖται[7] πρὸς τὸν Δία. (2) Ἐπὶ ταύταις ταῖς διαλλαγαῖς Δαίδαλα[8] ἑορτὴν ἄγουσιν, ὅτι οἱ πάλαι τὰ ξόανα ἐκάλουν δαίδαλα· ἐκάλουν δὲ, ἐμοὶ δοκεῖν, πρότερον ἔτι[9] ἢ Δαίδαλος ὁ Παλαμάονος ἐγένετο Ἀθήνῃσι· τούτῳ δὲ ὕστερον ἀπὸ

non potuisset, ad Cithaeronem qui tunc Plataeensibus imperabat venisse; fuisse vero Cithaeronem nemini calliditate secundum. Eius monitu Iupiter simulacrum e ligno fabricavit illudque plaustro vestimentis velatum imposuit, in vulgus vero prodidit Plataeam eam esse Asopi filiam quae sibi esset desponsa. Id ubi ad Iunonis aures pervasit accurrit illico, et ad plaustrum accedens veste conscissa ligneam esse effigiem comperit, quam novam esse nuptam putarat. Falsam se itaque laetanti animo ferens facile in gratiam cum Iove rediit. (2) In eius rei memoriam festos celebrant dies quae Daedala nuncupantur, quod prisci lignea signa Daedala vocitabant. Quod sane nominis ante natum Athenis Daedalum Palamaonis filium usurpatum crediderim; quin post a daedalis, (ligneis

δυναστεύοντα — Κιθαιρῶνα in contextis omissa ad marg. habet La. — πλαταίαις LbM.

2. τὸν om. VbLa. — ζεύγος La.

3. ἄγοιτο p. corr. ex ἄγειν τὸ, ut videtur, Va; tum Πλαταιὰν Va; Πλαταῖαν Vb; πλαταίαν, ut solent Lab.

4. ἀσωπὸν VaMLb, deinde ἔπρασσεν VbLa.

5. ἐπέπυστο αὐτίκα : καὶ αφίκετο Va; at in marg. : γρ. καὶ αὐτίκα ἀφίκετο; Ag καὶ αὐτίκα om.; ἐπέστυ τότε αὐτίκα Va.

6. ἀμάζῃ Va; ἀμάξῃ La, qui sic solet. Plura sunt vestigia e quibus hoc vocabulum a Pausania spiritu leni scriptum fuisse suspiceris, Ionum more; conf. Eustath. ad Hom. Il. XII, 448. p. 913. ad Il. XXII, 146. p. 1263. ad Il. XXIV, 711. p. 1372. Quum hoc Iliadis loco Homerus ἐπ' ἄμαξαν dicat, immerito fortasse VIII, 43, 3 (ubi vid. not. 12) ἐπ' ἀμαξῶν a nobis mutatum est in ἐπὶ ἁμαξῶν.

7. ποιῆται Ag.

8. δέδαλα Vb. — οἱ παλαιοὶ La.

9. ἔτι usque ὕστερον om. Vb. — ὁ παλαίμονος Va; οἱ παλάμωνος La. — ἀθήνησιν Ag. — δεδάλων La.

τῶν δαιδάλων ἐπίκλησιν γενέσθαι δοκῶ καὶ οὐκ ἐκ γενε-
3 τῆς[10] τεθῆναι τὸ ὄνομα. (3) Δαίδαλα οὖν ἄγουσιν οἱ Πλαταιεῖς ἑορτὴν[11] δι' ἔτους ἑβδόμου μέν, ὡς ἔφασκεν ὁ τῶν ἐπιχωρίων ἐξηγητής, ἀληθεῖ μέντοι λόγῳ δι' ἐλάσσονος καὶ οὐ τοσούτου[12] χρόνου· ἐθελήσαντες δὲ ἀπὸ Δαιδάλων[13] ἐς Δαίδαλα ἕτερα ἀναριθμῆσαι τὸν μεταξὺ χρόνον ἐς τὸ ἀκριβέστατον[14] οὐκ ἐγενόμεθα οἷοί τε.
4 ἄγουσι δὲ οὕτω τὴν ἑορτήν. δρυμός ἐστιν Ἀλαλκομενῶν οὐ πόῤῥω· μέγιστα[15] τῶν ἐν Βοιωτίᾳ στελέχη δρυῶν ἐστὶν[16] ἐνταῦθα. ἐς τοῦτον οἱ Πλαταιεῖς ἀφικόμενοι τὸν δρυμὸν προτίθενται μοίρας κρεῶν ἑφθῶν· ὄρνιθες δὲ οἱ μὲν ἄλλοι σφίσιν ἥκιστά εἰσι δι' ὄχλου,[17] τῶν κοράκων δὲ (οὗτοι γάρ σφισιν ἐπιφοιτῶσιν) ἔχουσιν ἀκριβῆ[18] τὴν φρουράν· τὸν δὲ αὐτῶν ἁρπάσαντα κρέας, ἐφ' ὅτῳ τῶν δένδρων καθεδεῖται φυλάσσουσιν· ἐφ' οὗ δ' ἂν καθεσθῇ, τεμόντες[19] ποιοῦσιν ἀπὸ τούτου τὸ

scilicet simulacris) non autem proprio ac germano nomine Daedalo ipsi cognomen impositum fuisse arbitror. (3) Celebrantur Daedala septimo quoque anno, sicuti mihi narrabat interpres patriae suae antiquitatum; re autem vera breviore temporis ambitu. Verum quum subtiliter enumerare vellemus media tempora a Daedalis ad altera Daedala, neutiquam id consequi potuimus. Ludi certe tali peraguntur ritu. Lucus est non longe ab Alalcomenis; ibi caudices quercuum in Boeotia maximi sunt. In eum lucum venientes Plataeenses carnium frusta elixarum exponunt. Et sane cum avibus aliis minus est eis negotii, corvorum vero turbam, quod ii omnium maxime in exta involant, quam diligentissime arcent. Observant autem si qua earum alitum carnem abripuerit, in qua consederit arbore. Nam ex ea sola materiam caedunt ad dae-

10. οὐκ ἐγενετῆς Vb.
11. ἑορτὴν usque ἐξηγητὴς om. MVa.
12. καὶ οὗτος οὐ τοῦ χρόνου Vb; καὶ οὗτος τοῦ χρ. VaMAgLb.
13. ἀπὸ δαιδάλου VaM(?)PcAg Lb: deinde ἐς δαίδαλ' ἕτερ' ἀναρ. Va; ἕτερ' ἀναρ. etiam M; ἐναριθμῆσαι La.
14. ἀκριβέστατον et ἀκριβέστερον Va, alterum p. corr. Mox ἀλαλκωμένων Vb; ἀλαλκομένων VaMLa; ἀλακομένων Lb.
15. πόῤῥω· μέγιστα BPcMAgLb; πόῤῥω· μάλιστα Va; πόῤῥω μέγιστος edd. rell. VbLa; iidem et Lb distinguunt post Βοιωτίᾳ.
16. ἐστὶν om. VaM. — προστίθενται La.
17. δ' ὄχλου Va. — κεράκων Ag; seq. γὰρ om. Va.
18. ἀκριβῆν La; seq. τὴν om. Va. Tum τὸν δὲ αὐτὸν MVa.
19. δὲ ἂν καθεστῇ τετεμόντες (τετεμ e corr.) Va etiam Ag καθεστῇ.

δαίδαλον· δαίδαλον γὰρ δὴ καὶ τὸ ξόανον αὐτὸ ὀνομάζουσι.[20] (4) Ταύτην μὲν ἰδίᾳ οἱ[21] Πλαταιεῖς ἑορτὴν ἄγουσι Δαί- 5
δαλα μικρὰ ὀνομάζοντες· Δαιδάλων δὲ ἑορτὴν τῶν μεγάλων καὶ οἱ[22] Βοιωτοί σφισι συνεορτάζουσι, δι' ἑξηκοστοῦ δὲ ἄγουσιν ἔτους· ἐκλιπεῖν γὰρ τοσοῦτον χρόνον 717
τὴν ἑορτήν φασιν, ἡνίκα οἱ Πλαταιεῖς ἔφευγον. ξόανα δὲ τεσσαρακαίδεκα[23] ἕτοιμά σφισίν ἐστι κατ' ἐνιαυτὸν ἕκαστον παρασκευασθέντα ἐν Δαιδάλοις[24] τοῖς μικροῖς. ταῦτα ἀναιροῦνται κλήρῳ[25] Πλαταιεῖς, Κορωναῖοι, Θε- 6
σπιεῖς, Ταναγραῖοι,[26] Χαιρωνεῖς, Ὀρχομένιοι, Λεβαδεῖς, Θηβαῖοι· διαλλαγῆναι γὰρ καὶ οὗτοι Πλαταιεῦσιν[27] ἠξίωσαν καὶ συλλόγου μετασχεῖν κοινοῦ καὶ ἐς Δαίδαλα θυσίαν ἀποστέλλειν,[28] ὅτε Κάσσανδρος ὁ Ἀντιπάτρου τὰς

dalum fabricandum; hoc enim nomine signum vocant. (4) Privatim Plataeenses sacrum faciunt quae parva Daedala appellant. Daedala sane magna Boeotii omnes conventu suo celebrant, sexagesimo quoque demum anno. Tamdiu enim solenne sacrum intermissum tradunt, quum Plataeenses domo eiecti exularent. Et in parvis quidem Daedalis signa quotannis comparata quaternadena promunt: quae sortiti inter se, tollunt Plataeenses, Coronaei, Thespienses, Tanagraei, Chaeronenses, Orchomenii, Lebadenses, Thebani. Nam et hi cum Plataeensibus in gratiam redire communemque cum aliis conventum frequentare et victimam ad Daedala concelebranda mittere instituerunt, post restitutas nempe a Cassandro Anti

20. ὀνομάζουσιν Ag.

21. οἱ addimus e La; ἄγουσιν M. — ἑωρτὴν ut saepius Vb; ἑοτὴν M.

22. οἱ om. VabMAgLab; συνεορτάζουσιν Ag.

23. τεσσαρακαίδεκα recepimus e Va; τεσσαρεςκαίδεκα edd. VbMPc AgLab.

24. δεδάλοις, ut saepius, AgLa.

25. κλήρου Va.

26. ταναγρέοι MVbLb; in M αι sup. ε, Ταναγρεῖος (Ταναγρῆος) erat dialecto Boeotica; conf. Böckh. Corp. Inscr. I, no. 1562. 1563. et quae dixit vir doctissimus p. 721. 722. — χερωνεῖς MVabAgLab. — λευαδεῖς Ag; formam Λεβαδεὺς tuentur loci Pausaniae IX, 40, 3. 5. Polyb. 27, 1. et tituli ap. Böckh. I, no. 1603. pag. 779. no. 1621. pag. 787. II, no. 1936. pag. 44; alias etiam formas offerunt inscriptiones: Λεβαδειεὺς Böckh. d. l. no. 1588. pag. 770. coll. pag. 755; Λεβαδειείοις ibidem pag. 759; de forma Boeotica Λεβαδεῖος vid. Böckh. pag. 721. 755. Λεβαδαίων est apud Plutarch. Sull. cap. 16, nisi ibi Λεβαδέων rescribendum est cum edd. novissimis. Conf. etiam Tzschuck. ad Strab. IX, pag. 469.

27. Πλαταιαῖσιν Vb. Mox κατασχεῖν VbMAgLb.

28. ἀποστέλλειν CSmai. BPcVaM Lab; ἀποστελεῖν Vb; ἀποσταλεῖν edd. rell.

Θήβας ἀνῴκισε. τῶν δὲ πολισμάτων ὁπόσα ἐστὶν ἐλάσ-
7 σονος λόγου, συντέλειαν[29] αἱροῦνται. Τὸ δὲ ἄγαλμα κο-
μίσαντες[30] παρὰ τὸν Ἀσωπὸν καὶ ἀναθέντες ἐπὶ ἅμαξαν
γυναῖκα ἐφιστᾶσι νυμφεύτριαν· οἱ δὲ αὖθις κληροῦνται
καθ' ἥντινα τάξιν τὴν πομπὴν ἀνάξουσι·[31] τὸ δ' ἐν-
τεῦθεν τὰς ἁμάξας ἀπὸ τοῦ ποταμοῦ πρὸς ἄκρον τὸν[32]
Κιθαιρῶνα ἐλαύνουσιν. εὐτρέπισται δέ σφισιν ἐπὶ τῇ
κορυφῇ[33] τοῦ ὄρους βωμός· ποιοῦσι δὲ τρόπῳ τοιῷδε
τὸν βωμόν· ξύλα τετράγωνα ἁρμόζοντες πρὸς ἄλληλα
συντιθέασι[34] κατὰ ταὐτὰ καὶ εἰ λίθων ἐποιοῦντο οἰκο-
8 δομίαν, ἐξάραντες δὲ ἐς ὕψος φρύγανα[35] ἐπιφέρουσιν. αἱ
μὲν δὴ πόλεις καὶ τὰ τέλη θήλειαν[36] θύσαντες τῇ Ἥρᾳ
βοῦν ἕκαστοι καὶ ταῦρον τῷ Διΐ, τὰ ἱερεῖα οἴνου καὶ
θυμιαμάτων πλήρη καὶ τὰ δαίδαλα ὁμοῦ καθαγίζουσιν[37]

patri filio Thebas. Quae vero oppida minore sunt dignatione ea societates inter se ineunt ad Daedala communibus sumtibus concelebranda. Ad Asopi ripas simulacrum deportant eique in currum imposito addunt mulierem pronubam. Tum rursus sortiti quo quisque populus loco pompam ipsam traducat, plaustra a flumine in summum Cithaeronis verticem agunt. Ara ibi in ipso iugo parata est; eam aram hoc exaedificant modo. Quadrata ligna tam apte inter se componunt ut lapidum structuram fecisse videri possint; sarmenta eo congesta in fastigium erigunt. Et urbes quidem cum magistratibus (?) Iunonem mactata bove, Iovem tauro, vino et odoribus refertis hostiis,

29. συντελίαν VabLbM; συντέλια M (sec. S); συντέλειαν κληροῦνται coni. K; αἱροῦνται τὸ sine distinctione AX. — τὸ [δὲ] ἄγαλμα C; nos e La adscivimus δὲ; om. rell.

30. κομίσαντες Sylb. B; probat S; κοσμήσαντες edd. rell. VabMPcAg Lab. — ἐφιστᾶσιν M.

31. ἄξουσι Cor.; ἀνάξουσιν Ag; τὸ δὲ ἐντ. Lab.

32. post τὸν inserunt Θηβαῖον AXK.

33. ἐπὶ τῇ κορυφῇ BPcLa; ἐπὶ κορυφῇ edd. rell. VaMLb; ἐπὶ κορυφὴν Vb. — τοὺς ὄρους Lb.

34. συνθέασιν Ag; tum κατὰ ταῦτα VbLb.

35. φρίγανα Ag.

36. θήλειαν FCSBVabLbMPcAg; κατὰ τέλη θείληαν La; τελείαν AX K; θηλεῖαν M sec. exc. nostra; τελείᾳ — τῇ Ἥρᾳ Am. legisse videtur. Tum θύσαντες (θυσα p. corr.) Va; seq. καὶ om. Vb; κατὰ ταῦρον Ag Lb.

37. καθαγίζουσιν coni. F; recepit B; confirmat La, in quo καθαγίζουσιν (sic), quae lectio corruptelae simul causam aperit; καθίζουσιν rell. edd. codd.; καθίζουσι M; καθίζουσι et καθαγίζουσι vidimus confusa etiam IV, 31, not. 25.

ἐπὶ τοῦ βωμοῦ, ἰδιῶται δὲ ὁπόσα δὴ θύουσιν[38] οἱ πλούσιοι· τοῖς δὲ[39] οὐχ ὁμοίως δυναμένοις τὰ λεπτότερα τῶν προβάτων θύειν καθέστηκε, καθαγίζειν δὲ τὰ ἱερεῖα ὁμοίως πάντα· σὺν δέ σφισι καὶ αὐτὸν τὸν βωμὸν ἐπιλαβὸν τὸ πῦρ ἐξανήλωσε· μεγίστην δὲ[40] ταύτην φλόγα
καὶ ἐκ μακροτάτου σύνοπτον οἶδα ἀρθεῖσαν. (5) Ὑπὲρ[41] 9
δὲ τῆς κορυφῆς ἐφ' ᾗ τὸν βωμὸν ποιοῦνται πέντε που 718
μάλιστα καὶ δέκα ὑποκαταβάντι σταδίους νυμφῶν ἐστιν ἄντρον[42] Κιθαιρωνίδων, Σφραγίδιον μὲν ὀνομαζόμενον,[43] μαντεύεσθαι δὲ τὰς νύμφας τὸ ἀρχαῖον αὐτόθι ἔχει λόγος.

venerantur; simulque daedala super ara concremant. Homines privati ditiores immolant quidquid id est, quibus vero minus est copiarum e minoribus tantum immolant gregibus. Aram correptam ignis cum iis omnibus quae porrecta fuerint comburit. Flammam in sublime attolli maximam maximeque e longinquo spectabilem novimus. (5) Supra iugum illud in quo aram extruunt, ubi stadia ferme XV descenderis antrum videas Cithaeronidum Nympharum; Sphragidium nominant. Vaticinatas ibi priscis temporibus Nymphas sermo hominum vulgavit.

38. ὁπόσα δὴ e coni. coll. X, 18, 5, (ubi ἱερεῖα θύσειν οἷα δὴ καὶ ὅσα ἀριθμόν); ὁπόσα edd. rell. VabMPcAgLab; ὁπόσα καὶ ἰδιῶται θύουσιν οἱ πλούσιοι coni. K; ἰδιῶται δὲ, ὁπόσα αἱ πόλεις, θύουσιν coni. C; ἰδιῶται δὲ καθ' ὁπόσα θύουσιν Pors.; post δὲ et θύουσιν distinguendo satis fecisse sibi videntur SB. Tum οὐ πλούσιοι VaM. Conferendus est omnino locus geminus X, 32, 16.

39. οἷς δὲ Pors., probat S; τοῖς δ' οὐχ Va. Deinde δυναμένοις e coniectura; δύναμις edd. VabMPcAgLab; δυνατοῖς Buttm. Mox καθέστηκεν Ag. — ἐπιλαβὼν La.

40. δὴ BPcLb. Tum ταύτην τὴν φλ. malit S; quod probamus.

41. Ὑπὲρ edd. codd. „Nonne ὑπὸ?“ B. Fortasse correctura margini adscripta adhaesit vocabulo ὑποκαταβάντι.

42. ἄνδρον Va.

43. Σφραγιτίδων μὲν ὀνομαζομένων coni. C. Probat Lobeck Paralipom. p. 50 seq. Cf. Plutarch. Aristid. cap. 11.

CAPUT IV.

De templo et signo Minervae Areae — reliquis Plataeae memorandis — fluvio Oeroë et de Scoli reliquiis.

Πλαταιεῦσι[1] *δὲ Ἀθηνᾶς ἐπίκλησιν Ἀρείας ἐστὶν ἱερόν· ᾠκοδομήθη δὲ ἀπὸ λαφύρων ἃ τῆς μάχης σφίσιν Ἀθηναῖοι*[2] *τῆς Μαραθῶνι ἀπένειμαν. τὸ μὲν δὴ ἄγαλμα ξόανόν ἐστιν ἐπίχρυσον, πρόσωπον δέ οἱ καὶ χεῖρες ἄκραι*[3] *καὶ πόδες λίθου τοῦ Πεντελησίου εἰσί· μέγεθος μὲν οὐ πολὺ δή τι ἀποδέει*[4] *τῆς ἐν ἀκροπόλει χαλκῆς, ἣν καὶ αὐτὴν Ἀθηναῖοι τοῦ Μαραθῶνι ἀπαρχὴν*[5] *ἀγῶνος ἀνέθηκαν· Φειδίας δὲ καὶ*[6] *Πλαταιεῦσιν ἦν ὁ τῆς Ἀθηνᾶς*
2 *τὸ ἄγαλμα ποιήσας. γραφαὶ δέ εἰσιν ἐν τῷ ναῷ Πολυγνώτου μὲν Ὀδυσσεὺς τοὺς μνηστῆρας ἤδη κατειργασμένος, Ὀνασία δὲ*[7] *Ἀργείων ἐπὶ Θήβας ἡ προτέρα στρατεία· αὗται μὲν δή εἰσιν ἐπὶ*[8] *τοῦ προνάου τῶν τοίχων*

Cap. IV. Minervae etiam Areae (Martiae) apud Plataeenses fanum est; de manubiis erectum fuit quas e pugna Marathonia cum Plataeensibus Athenienses communicarunt. Signum e ligno est inauratum; eius os, summae manus et pedes e Pentelico lapide; magnitudine prope pari cum ea Minerva quam Athenienses in arce ex aere de Marathonia praeda ceu primitias dedicarunt. Minervam sane illam Plataeensibus Phidias fecit. Picturae in aede sunt Polygnoti, Ulysses patrata procorum caede; Onasiae, Argivorum prior ad Thebas expeditio. Atque hae quidem picturae in parietibus primi aditus cernuntur.

Cap. IV. 1. *Πλαταιᾶσι* Buttm. B., qui tamen postea non opus esse hac coniectura vidit.

2. *ἀθηναῖ* Ag; mox ante *Μαραθῶνι* delevimus *ἐν* cum BPcVabAg Lab.

3. *ἄκρες* VaM; om. Vb; mox *λίθου Πεντεσιλίου* Vb; *πεντέλησι* Ag.

4. *μέγ. μὲν* (fin. fol.) *πολὺ δή τοι ἀποδ.* Vb; *μεγ. μὲν δὴ οὐ* Lb. — *ἀποῖδε τῆς* VaLbMPcAgR (ad marg. R *ἀποδέει*); *ἀποδέοι* praeferendum censet S. Tum *χαλκῆς Ἀθηνᾶς* coni. C.

5. *ἀπ' ἀρχῆς* Va; *ἀπαυχῆς* MAg Lb.

6. *καὶ* om. Vb.

7. *Ὀνασία δὲ* B; *ὄνασι δὲ* PcVa MAg; *ὀνάσιος δὲ* VbLa; *ὄνοσι δὲ* Lb; *Ὀνατᾶ δὲ* edd. rell.; cap. 5, not. 52. — *δὲ Ἄργους* (*ἄγους* Pc Ag) *τοῦ καὶ Ἀργείου ἐπὶ* VaPcM Ag; *δὲ ἄργους οὐ καὶ ἀργίου ἐπὶ θ.* Lb; *δὲ ἐπὶ Θηβ.* Vb. Haud inepte fortasse inde coniicimus: *Ὀνασία δὲ τοῦ Ἀργείου ἐπὶ Θήβας ἡ προτ. στρατ.* (*ἡ πρωτέρα* Vb; *στρατία* VbAg; *πλατεία* La).

8. *εἰσὶν ἔτι τοῦ* Va.

αἱ γραφαί· κεῖται[9] δὲ τοῦ ἀγάλματος πρὸς τοῖς ποσὶν εἰκὼν Ἀριμνήστου. ὁ δὲ Ἀρίμνηστος ἔν τε τῇ πρὸς Μαρδόνιον[10] μάχῃ καὶ ἔτι πρότερον ἐς Μαραθῶνα Πλαταιεῦσιν ἡγήσατο. (2) Ἔστι δὲ καὶ Δήμητρος ἐπίκλησιν 3
Ἐλευσινίας ἱερὸν ἐν Πλαταιαῖς[11] καὶ Λήϊτου μνῆμα· τῶν δὲ ἡγεμόνων οἳ Βοιωτοὺς ἐς Τροίαν ἤγαγον, μόνος[12] ἀνέστρεψεν οἴκαδε οὗτος ὁ Λήϊτος. τὴν δὲ κρήνην τὴν Γαργαφίαν Μαρδόνιος καὶ ἡ ἵππος συνέχεεν ἡ Περσῶν, ὅτι τὸ Ἑλλήνων στράτευμα τὸ ἀντικαθήμενόν σφισιν ἀπ' αὐτῆς ἔπινεν· ὕστερον μέντοι τὸ[13] ὕδωρ ἀνεσώσαντο οἱ Πλαταιεῖς. (3) Ἐκ Πλαταίας[14] δὲ ἰοῦσιν ἐς Θήβας πο- 4
ταμός ἐστιν Ὠερόη·[15] θυγατέρα δὲ εἶναι τὴν Ὠερόην τοῦ Ἀσωποῦ λέγουσι. πρὶν δὲ ἢ διαβῆναι τὸν Ἀσωπόν, παρ' αὐτὸ τὸ ῥεῦμα ἀποτραπεῖσιν[16] ἐς τὰ κάτω καὶ προελθοῦσιν ὅσον τεσσαράκοντα στάδια ἔστιν ἐρείπια Σκώλου· Δήμητρος δὲ καὶ Κόρης ἐν τοῖς ἐρειπίοις οὐκ ἐξειργασμένος ὁ ναός, ἡμίσεα δὲ καὶ ταῖς θεαῖς ἐστι[17]

Ad pedes deae est Arimnesti imago. Dux hic Plataeensium fuit in pugna contra Mardonium et ante etiam ad Marathonem. (2) Est et Cereris cognomento Eleusiniae Plataeis sacellum et Leiti sepulcrum. Unus hic ex omnibus Boeotorum ducibus e bello Troiano domum rediit. Gargaphiae dactum aquae Mardonii equitatus corrupit, quod Graecorum copiae quae contra se stabant illa aqua utebantur. Est tamen fons ille post a Plataeensibus restitutus. (3) In via quae a Plataea Thebas ducit fluvius est Oeroe. Filiam fuisse Asopi Oeroen dicunt. In citeriore Asopi ripa ad inferiora flectentibus stadium intervallo prope XL, Scoli ruinae sunt, inter quas extat imperfecta aedes Cereris et Proserpinae cum dimidiatis dearum

9. κεῖνται Vb. — τοῖς προσὶν Lb.

10. μαρδώνιον Vb; idem postea μαρδώνιος et sic saepius; ἐν μαραθῶνα La.

11. πλαταίες Ag; πλαταίαις Lb.

12. μόνον VaM. Mox λήϊος Vb.

13. τὸ om. Ag.

14. Πλαταιᾶς edd. ante SVab.

15. Ὠερόη CSBPcLb; Περόη edd. rell. VaM; in Vb scriptum erat ὠερείη; id correctum in ὠερόη, postea litura deletum et Περόη exaratum; ὠερύη (υ ambig.) La; deinceps ὠεράην La; Ὠερόην CSBPcVb; Περόην edd. rell. VaLbM. In Ag π expunctum, et ω supra lin. Mox λέγουσιν Ag.

16. ἀποστραπεῖσιν Vb; per corr. τρ.

17. ἐστὶν Ag.

τὰ ἀγάλματα. ἀποκρίνει δὲ καὶ νῦν ἔτι ἀπὸ τῆς Θηβαίων τὴν Πλαταιΐδα[18] ὁ Ἀσωπός.

CAPUT V.

De primis Thebaidis incolis et regibus, Ogygo, Cadmo — Polydoro, Pentheo — Amphione et Zetho — de Amphionis musica arte varia narratio — de Laïo et Oedipode — Polynice et Eteocle — Thebis ab Argivis captis et de Thersandro — de Tisameno et reliquis Thebanorum regibus.

719 Γῆν δὲ τὴν Θηβαΐδα οἰκῆσαι πρῶτον λέγουσιν Ἐκτῆνας,[1] βασιλέα[2] δὲ εἶναι τῶν Ἐκτήνων ἄνδρα αὐτόχθονα Ὤγυγον· καὶ ἀπὸ τούτου τοῖς πολλοῖς τῶν ποιητῶν ἐπίκλησις ἐς τὰς Θήβας ἐστὶν Ὠγύγιαι.[3] καὶ τούτους μὲν ἀπολέσθαι λοιμώδει[4] νόσῳ φασίν, ἐσοικίσασθαι δὲ μετὰ τοὺς Ἐκτῆνας ἐς τὴν χώραν Ὕαντας καὶ Ἄονας[5] Βοιώτια, ἐμοὶ δοκεῖν,[6] γένη καὶ οὐκ ἐπηλύδων ἀνθρώπων. Κάδμου δὲ καὶ τῆς Φοινίκων στρατιᾶς[7] ἐπελθούσης μά-

signis. Dividit adhuc a Thebano Plataeensem agrum Asopus.

Cap. V. Qui primi Thebaidem terram tenuerint Ectenas fuisse tradunt, quorum rex fuerit Ogygus, homo indigena. Ab eo nempe poetarum complures Thebas Ogygias cognomine appellant. Periisse hunc populum ferunt pestilentia. Successisse in eas sedes Hyantas et Aonas, Boeoticas, opinor, non alienigenas gentes. Iam vero quum in ea loca Cadmus Phoenicum copias adduxisset, proelio fusi Hyantes postera nocte profugere. Aonas Cadmus supplices manere et cum Phoenicibus permisceri

18. Πλαταΐδα AXK; πλατανίδα, omisso praecedente articulo La.

Cap. V. 1. Hoc loco et posthac Ἐκτῆνας, Ἐκτήνων, Ἐκτῆνας scripsimus, Ἔκτηνας, Ἐκτήνων, Ἔκτηνας BPcAg (?); Ἑκτῆνας, Ἑκτήνων, Ἑκτῆνας AXKFCS; cum spiritu leni, semel ἐκτήνας, Vb; ἐκτήνας, ἐκτείνων La; ἔκτηνας (sic bis), ἀκτήνων Lb; ἀκτήνας (bis), ἀκτήνων MVa (in exc. nostris e M semel tantum invenimus ἀκτήνας); „Ectenas“ Am.

2. βασιλέα — τούτου τοῖς om. Vb.

3. Ὠγυγίαι AXK; correxit Sylb.; ἐστὶν (ἔστιν Va, ἔστιν Vb) ὠγυγία MVabAgLab (M ὠγύγια sec. Exc. nostr.)

4. λοιμώδη Ag.

5. Ἀόνας A.

6. δοκεῖ Va.

7. στρατείας AVabMAgLb. — ἐκδιδράσκουσιν M.

χῃ νικηθέντες οἱ μὲν Ὕαντες ἐς τὴν νύκτα τὴν ἐπερχο-
μένην ἐκδιδράσκουσι, τοὺς δὲ Ἄονας ὁ Κάδμος γενομέ-
νους ἱκέτας καταμεῖναι καὶ ἀναμιχθῆναι τοῖς Φοίνιξιν εἴα-
σεν.[8] τοῖς μὲν οὖν Ἄοσι κατὰ κώμας ἔτι ἦσαν[9] αἱ 2
οἰκήσεις, Κάδμος δὲ τὴν πόλιν τὴν καλουμένην ἔτι καὶ
ἐς ἡμᾶς Καδμείαν[10] ᾤκισεν. αὐξηθείσης δὲ ὕστερον τῆς
πόλεως οὕτω τὴν Καδμείαν ἀκρόπολιν συνέβη τῶν κάτω
γενέσθαι Θηβῶν. Κάδμῳ δὲ γάμος τε ἐπιφανὴς ὑπῆρξεν
(εἰ δὴ θυγατέρα Ἀφροδίτης καὶ Ἄρεως[11] κατὰ λόγον τὸν
Ἑλλήνων ἔσχε)[12] καὶ αἱ θυγατέρες εἰλήφασιν αὐτῷ φή-
μην, Σεμέλη[13] μὲν τεκεῖν ἐκ Διός, Ἰνὼ δὲ θεῶν εἶναι
τῶν θαλασσίων. ἐπὶ μὲν δὴ Κάδμου μέγιστον μετά γε 3
αὐτὸν Κάδμον ἠδύναντο οἱ Σπαρτοί, Χθόνιος καὶ Ὑπερή-
νωρ καὶ Πέλωρος καὶ Οὐδαῖος· Ἐχίονα δὲ ὡς προέχοντα
κατ᾽ ἀνδραγαθίαν γαμβρὸν ἠξίωσεν ὁ Κάδμος ποιήσα-
σθαι. τοὺς δὲ ἄνδρας τούτους (οὐ γάρ τι[14] ἠδυνάμην

facile passus est; et illi quidem vicatim habitarunt, Cadmus vero oppidum, cui et nunc idem est nomen, Cadmeam condidit. Sed aucta postea urbe inferioribus moenibus pro arce Cadmea fuit. Illustres omnino Cadmi nuptiae fuere, si, quod Graecorum monumentis proditum est, Martis et Veneris filiam uxorem duxit. Ipsius quoque filiae in magna famae celebritate fuere, quod Semele ex Iove pepererit, Ino in marinas deas relata fuerit. Eodem Cadmo regnante magnae secundum Cadmum opes fuere Spartorum: quorum nomina Chthonios, Hyperenor, Pelorus et Udaeus; nam Echionem virtutis ergo quem sibi generum adsclsceret dignum Cadmus duxit. Hos sane viros, quod nihil amplius comperti habeam, fabulae as-

8. εἴασε SLb; ἴασιν Ag. — tum ἄνοσοι pro ἄοσι La.

9. ἔτι ἦσαν coni. K., recep. FCSB; ἐπήεσαν (ἐπήεσαν) AXKVabMPc AgLab; πεπήγεσαν Sylb. — οἰκή-σεις VaM. — δάσμος pro κάδμος Lb.

10. καδμίαν MVabLb; καδμείαν usque οὕτω τὴν om. La. — ᾤκησεν VbLb. Mox τὴν καδμίαν (VabAg Lb) ἀκρόπ. τῶν κάτω συνέβη θηβῶν. Κάδμω (sup. τῶν κάτω litera β, sup. συνέβη litera α, quibus ordo vulg. restituitur) Va; συνέβη γενέσθαι τῶν κάτω θηβῶν La; unde videmus, γενέσθαι in contextis omissum et margini adscriptum ab aliis alio loco insertum esse; nobis codicis La placet ordo. — εἰ δὲ θυγ. La.

o

11. ἄρεος (sec. Exc. nost. ἄρεως M.) MVaLb. Tum τὸν Ἑλλήνων Lb; τῶν Ἑλλ. rell.

12. ἔσχεν Ag. — θυγατέραις Va. — εἰλήφεσαν La. — αὐτοῦ φήμ. C.

13. σεμέλην μὲν M sup. vers. Vab AgLab; σεμέλην δὲ M. — ἀνὼ Ag. — σπάρτοι Lb et mox σπάρτους. — ἐχίωνα — προὖχοντα La.

14. γάρ τοι Vb; ἠδυνάμην La.

ἐς αὐτοὺς παρευρεῖν) ἕπομαι τῷ μύθῳ, Σπαρτοὺς διὰ
τὸν τρόπον ὅντινα ἐγένοντο[15] ὀνομασθῆναι. Κάδμου
δὲ ἐς Ἰλλυριοὺς[16] καὶ Ἰλλυριῶν ἐς τοὺς καλουμένους
Ἐγχέλεας μετοικήσαντος[17] Πολύδωρος ὁ Κάδμου τὴν
4 ἀρχὴν ἔσχε. (2) Πενθεὺς δὲ ὁ Ἐχίονος ἴσχυε[18] μὲν καὶ
αὐτὸς κατὰ γένους ἀξίωμα καὶ φιλίᾳ[19] τοῦ βασιλέως,
120 ὢν δὲ ἐς τὰ λοιπὰ ὑβριστὴς καὶ ἀσεβὴς[20] Διονύσου δί-
κην ἔσχεν ἐκ τοῦ θεοῦ. Πολυδώρου δὲ ἦν Λάβδακος·
ἔμελλε δὲ ἄρα αὐτόν, ὥς οἱ παρίστατο ἡ τελευτή, παῖδα
ἔτι ἀπολείψειν,[21] καὶ ἐπιτρέπει τόν τε υἱὸν καὶ τὴν ἀρ-
5 χὴν Νυκτεῖ. τὰ δὲ ἐφεξῆς μοι τοῦ λόγου[22] προεδήλωσεν
ἡ Σικυωνία συγγραφή, τοῦ δὲ Νυκτέως τὸν θάνατον
ὅντινα γένοιτο τρόπον, καὶ ὡς ἐς Λύκον ἀδελφὸν Νυ-
κτέως ἥ τε[23] ἐπιμέλεια τοῦ παιδὸς περιῆλθε καὶ ἡ Θη-
βαίων δυναστεία. Λύκος δὲ παρέδωκε μὲν αὐξηθέντι
Λαβδάκῳ τὴν ἀρχήν· γενομένης δὲ οὐ μετὰ πολὺ καὶ

sentiens Spartos a satu quo dicuntur e terra editi appellatos crediderim. Post Cadmi in Illyrios et Encheleas Illyricum populum migrationem Polydorus eius filius paternum imperium tenuit. (2) Pentheus quidem Echionis filius et generis dignitate et regis amicitia plurimum pollebat; verum quum esset insolentior et plane impius Libero Patri violati numinis poenas dedit. Polydoro Labdacus filius fuit. Hunc pater quum e vita decederet una cum regno Nycteo in tutelam tradidit. Quae huc pertinent reliqua mihi in Sicyoniarum rerum commentario exposita sunt; cuiusmodi scilicet mors Nyctei fuerit et quemadmodum ad Lycum eius fratrem pueri tutela et Thebanorum principatus pervenerit. Et is quidem Labdaco iam adulto regnum restituit. Sed quum non ita multo post et ipse Labda-

15. ἐγένετο VaM.

16. Ἰλλιριοὺς et καλλουμένους Vb; ἐς ἰλλυρίου καὶ ἰλλυρίων Ag. tum ἀγχέλεας VaM; ἐγχελέας La.

17. μετοικίσαντος Vb.

18. ὁ ἰγχύονος ἴσχιε Vb; ὁ αἰσχίνης Ag; ὁ αἰχίονος RLb, ad marg. ἐχίονος K.; ὁ ἐχίωνος La.

19. φιλίᾳ BPcVaMRAgLab; φιλίαν edd. rell.; φόβῳ τ. βασ. Vb, marg. R.

20. post ἀσεβὴς virgulam habent AXK; correxit Sylb. — λάμβδακος La.

21. ἀπολήψειν Ag. seq. om. VaPcLbMAg; tum νυκτὶ AgLb. —

22. μοι τοῦ λόγ. BPcAgLab; τ. λογ. μοι rell. mox συκιωνία Ag. — γραφὴ MVaAgLb; συγγραφῇ ὅντινα, mediis omissis La.

23. τε ἐπιμ. VbAgLab; τ' ἐπιμ. edd. VaMPc; tum παιδὸς om. Va.; deinde περιεῆλθεν Vb. — τὴν ἀρχὴν λαβδάκῳ La.

τούτῳ τῆς τελευτῆς ὁ δὲ ἐπετρόπευσεν[24] αὖθις Λάϊον Λαβδάκου παῖδα. (3) Λύκου δὲ ἐπιτροπεύοντος δεύτε- 6
ρον κατίασιν Ἀμφίων καὶ Ζῆθος[25] δύναμιν ἀγείραντες. καὶ Λάϊον μὲν ὑπεκκλέπτουσιν[26] οἷς ἦν ἐπιμελὲς μὴ γενέσθαι τὸ Κάδμου γένος ἐς τοὺς ἔπειτα ἀνώνυμον· Λύκου δὲ οἱ τῆς Ἀντιόπης παῖδες τῇ μάχῃ κρατοῦσιν· ὡς δὲ ἐβασίλευσαν, τὴν πόλιν τὴν κάτω προσῴκισαν τῇ Καδμείᾳ[27] καὶ Θήβας ὄνομα ἔθεντο κατὰ συγγένειαν τὴν[28] Θήβης. μαρτυρεῖ δέ μοι τῷ λόγῳ καὶ Ὅμηρος ἐν τῇ Ὀδυσσείᾳ· 7

Οἳ πρῶτοι Θήβης[29] ἕδος ἔκτισαν ἑπταπύλοιο,
Πύργωσάν τ', ἐπεὶ οὐ μὲν[30] ἀπύργωτόν γ' ἐδύναντο
Ναιέμεν εὐρύχορον[31] Θήβην, κρατερώ περ ἐόντε.

(4) Ὅτι δὲ Ἀμφίων ᾖδε καὶ τὸ[32] τεῖχος ἐξειργάζετο πρὸς

cus diem suum obiisset, rursus Lycus Labdaci filium Laium in tutelam suam recepit. (3) Lyco iam iterum tutelam gerente Amphion et Zethus collecta militum manu agrum invadunt; et Laium quidem periculo subtraxerunt ii quibus curae fuit providere, ne Cadmei generis nomen in posterum aboleretur. Lycum Antiopes filii proelio vicerunt. Iidem regno potiti oppidum inferius cum Cadmea coniunxerunt; urbem totam Thebas ob cognationem quae cum Thebe ipsis fuit, nuncuparunt. Huius rei testimonio mihi sunt Homeri in Odyssea versus:

Qui portis septingeminis et turribus altis
Cinxerunt Thebas. Neque enim sine turribus ausi
Incolere, invicti quanquam illi viribus essent.

(4) De Amphionis vero cantu et quod muros ad lyram ere-

24. ἐπετρόπευεν VbPc.
25. τῆθος M. Tum ἀγείραντες CSB; idem Am. legisse videtur; ἀγείροντες Hartung referente Sylb.; ἐγείραντες edd. rell. VabMPcAg Lab.
26. ὑπεκκλέπτουσιν VaLb; ὑποκλέπτουσιν edd. VbMPcAgLa; tum ἧς Ag.
27. καδμία VaMLb.
28. τὴν Θήβ. BAgPcLb; τῆς Θήβ. edd. rell. VabMLa; Conf. II, 5, 2. — Hom. Od. XI, 263. — μαρτ. δή μοι Lb.
29. Θήβας AXVabMPcAgLab; correxit Sylb. — πυργώσαντες La.
30. οὔ μιν AXKFCVbAgPcLa; οὐ μὲν SBVaM.; deinde γε ἐδύν. Vb; γε δύν. La.
31. εὐρύχωρον VabMAgLab; mox κρατερῶ Vb. κρατερὰ La. — ἐόντι Ag.
32. ἦδε καὶ τεῖχ. edd.; ἦδε ἢ τεῖχ. Pc; ἦδεν τεῖχ. Va; ἠδέη τεῖχ. Vb; ἡ δὲ η (?) M. ἤδεη sine acc. Ag. sine accentu et spiritu Lb. — La ἦδε καὶ om., et habet τὸ τεῖχος, unde articulum recepimus.

τὴν λύραν οὐδένα ἐποιήσατο λόγον ἐν τοῖς ἔπεσι.[33] δό-
ξαν δὲ ἔσχεν Ἀμφίων ἐπὶ μουσικῇ τήν τε ἁρμονίαν τὴν
Λυδῶν κατὰ κῆδος τὸ[34] Ταντάλου παρ' αὐτῶν μαθὼν
8 721 καὶ χορδὰς ἐπὶ τέσσαρσι ταῖς πρότερον τρεῖς ἀνευρών.[35]
ὁ δὲ τὰ ἔπη τὰ ἐς Εὐρώπην ποιήσας φησὶν Ἀμφίονα[36]
χρήσασθαι λύρᾳ πρῶτον Ἑρμοῦ διδάξαντος. πεποίηκε
δὲ καὶ λίθων καὶ θηρίων[37] ὅτι καὶ ταῦτα ᾄδων ἦγε.
Μυρὼ δὲ Βυζαντία ποιήσασα ἔπη[38] καὶ ἐλεγεῖα Ἑρμῇ
βωμόν φησιν ἱδρύσασθαι πρῶτον Ἀμφίονα καὶ ἐπὶ τού-
τῳ λύραν παρ' αὐτοῦ λαβεῖν. λέγεται δὲ καὶ ὡς ἐν Ἅιδου
δίκην δίδωσιν ὁ Ἀμφίων ὧν ἐς Λητὼ καὶ τοὺς παῖδας
9 καὶ αὐτὸς ἀπέρριψε· κατὰ δὲ[39] τὴν τιμωρίαν τοῦ Ἀμφί-
ονος ἔστι[40] ποιήσεως Μινυάδος, ἔχει δὲ ἐς Ἀμφίονα
κοινῶς καὶ ἐς τὸν Θρᾷκα Θάμυριν. (5) Ὡς δὲ τὸν

xerit, nullam prorsus fecit mentionem. Hanc in musicis famam idcirco est Amphion consecutus quod a Lydis ob Tantali affinitatem Lydios modos didicit primusque chordas tres ad quatuor a superioribus inventas addidit. Atenim qui carmina in Europam fecit is memoriae prodidit, Amphionem Mercurio magistro lyrae primum usum didicisse, cantu vero saxa et feras duxisse. At Myro Byzantia quae heroicum carmen et elegos scripsit, Amphionem tradit primum omnium Mercurio aram dedicasse et idcirco lyram ab eo accepisse. Aiunt etiam apud inferos Amphionem ob eas contumelias plecti quibus Latonam et eius filios affecit. Ac de eius quidem poena in ea poesi mentio est cui Minyas nomen; spectabat vero Amphionis aeque ac Thamyridis Thracis poenam. (5) Posteaquam vero Amphionis

33. ἔπεσιν Ag. — τῶν λυδῶν La; tum κῦδος id.

34. τοῦ Ταντ. Va; τὸν ταντ. Ag Lb.

35. ἀνευρών Sylb. KFCSBVab M(?)AgLab; ἐνευρών AXPc. — Mox φασὶν La.

36. ἀμφίωνα Lb; tum λύραν Vb.

37. „post θηρίων deesse videtur δημητῆρα aut quid simile.“ B. in Add. Fortasse ante λίθων excidit περὶ. — ἦγεν La. — ᾄδων M.

38. Μυρὼ δὲ Βυζαντία ποιήσασα ἔπη CSmai. B.; Μύρων δὲ Βυζάντιος ποιήσας ἔπη edd. rell. Vb La; Μύρων δὲ Βυζαντία (βυζάντιος Ag) ποιήσας ἐς ἔπη PcVaAg Lb; ποιήσας ἐς ἔπη etiam M; de Βυζαντία silent excerpta. Μυρὼ δὲ Βυζαντιὰς ἡ ποιήσασα ἔπη coni. S. — Tum ἀμφίωνα AgLab, saepius. Mox δίδωσιν ὁ ἀμφ. La; unde articulum inseruimus.

39. „κατὰ δὲ] an forte τὰ δ' ἐς.“ B. Locus vix sanus. ἀπέρριψεν Ag La. Mox τιμηνίαν pro τιμωρίαν Va. — ἀμφίωνος AgVb (Vb etiam postea) Lb, et omisso praecedente τοῦ La.

40. ἔστι ἔπη ποι. Sylb.

*οἶκον τὸν Ἀμφίονος καὶ Ζήθου τὸν μὲν ἡ νόσος ἡ λοι-
μώδης ἠρήμωσε,[41] Ζήθῳ δὲ τὸν παῖδα ἀπέκτεινεν ἡ τε-
κοῦσα κατὰ δή τινα ἁμαρτίαν, ἐτεθνήκει δὲ ὑπὸ λύπης
καὶ αὐτὸς ὁ Ζῆθος, οὕτω Λάϊον ἐπὶ βασιλείᾳ[42] κατά-
γουσιν οἱ Θηβαῖοι. Λαΐῳ δὲ βασιλεύοντι καὶ γυναῖκα* 10
*ἔχοντι Ἰοκάστην μάντευμα ἦλθεν ἐκ[43] Δελφῶν ἐκ τοῦ
παιδός οἱ τὴν τελευτήν, εἰ τέκοι τινὰ Ἰοκάστῃ, γενήσε-
σθαι. καὶ ὁ μὲν ἐπὶ τούτῳ τὸν Οἰδίποδα[44] ἐκτίθησιν·
ὁ δὲ καὶ τὸν πατέρα ἀποκτενεῖν ἤμελλεν[45] ὡς ηὐξήθη,
καὶ τὴν μητέρα ἔγημε. παῖδας δ' ἐξ αὐτῆς οὐ δοκῶ οἱ
γενέσθαι, μάρτυρι Ὁμήρῳ χρώμενος, ὃς ἐποίησεν ἐν
Ὀδυσσείᾳ·*

Μητέρα τ' Οἰδιπόδαο ἴδον καλὴν Ἐπικάστην,[46] 11
*Ἣ μέγα[47] ἔργον ἔρεξεν ἀϊδρείῃσι νόοιο,
Γημαμένη ᾧ υἱεῖ· ὁ δ'[48] ὃν πατέρ' ἐξεναρίξας
Γῆμεν· ἄφαρ δ' ἀνάπυστα[49] θεοὶ θέσαν ἀνθρώποισι.*

domus pestilentia deleta est, et Zethus quum genitum ex se puerum ipsa ob certam noxam mater peremisset animi aegritudine contabuit; ibi Laio Thebani regnum detulerunt. Duxit Laius Iocastam uxorem. Accepit vero ab Apolline Delphico responsum, a filio, si quis ei ex Iocasta nasceretur, ipsum interfectum iri. Quare recens natum Oedipum exposuit. At ille quum adolevisset et patrem occidit et matrem ipsam uxorem duxit. Filios vero nullos ex ea omnino genuisse testimonio mihi sunt qui in Odyssea leguntur Homeri versus:

Vidi etiam Oedipodis matrem, formosam Epicasten,
Quae foedo imprudens temeravit crimine vitam
Gnati iuncta toro; genitorem occiderat ille.
Mox tamen in lucem visum hoc proferre Diis est.

41. *ἐρήμοσε* Vb; *ἐρήμωσε* Lb. — *ἡ λοιμώδεις* La.

42. *βασιλείᾳ* Sylb. FCSBVbPc Lab; *βασιλέα* AXK; *βασιλεῖ* Va; tacet M.

43. *ἦλθε ἐκ* AXK; *μάντευμα* — *Ιοκάστην* (sic) bis in Vb.

44. *Οἰδήποδα* Vb.

45. *ἤμελλεν* AXKFBVab(?)Pc Lb; *ἔμελλεν* CSMAgLa; tum *ἠξήθη* M; at *ἠν* ad marg. — Hom. Od. XI, 271. — Tum *δὲ ἐξ* Lab; *οἰδιπόδα οἶδον* La.

46. *καλὴν Ἰοκάστην* Va. — *μαλὴν ἐπὶ ʽκάστην* (sic) Lb; *ἐπ' Ἰοκάστην* (*ἐπι* supra) (i. e. *Ἰοκάστην*) MLa.

47. *μέγαν* Lab. — *ἀνδρείῃσι* Va.

48. *ὃ δ'* M; *ὃδ'* Lb; *πατέρα* VbLa; *ἐξαναρίξας* Va.

49. *ἀναπύστα* Va; *ἀνάπυστα* h. l. et v. sq. Ag. — *θέσσαν* La; *ἀνθρώποισιν* Lab.

πῶς οὖν ἐποίησαν[50] ἀνάπυστα ἄφαρ, εἰ δὴ τέσσαρες ἐκ
722 τῆς Ἐπικάστης ἐγένοντο παῖδες τῷ Οἰδίποδι;[51] ἐξ Εὐρυγανείας δὲ τῆς Ὑπέρφαντος ἐγεγόνεσαν· δηλοῖ δὲ καὶ ὁ τὰ ἔπη[52] ποιήσας ἃ Οἰδιπόδια ὀνομάζουσι, καὶ Ὀνασίας Πλαταιᾶσιν ἔγραψε κατηφῆ τὴν Εὐρυγάνειαν ἐπὶ
12 τῇ[53] μάχῃ τῶν παίδων. (6) Πολυνείκης[54] δὲ περιόντος μὲν καὶ ἄρχοντος Οἰδίποδος ὑπεξῆλθεν[55] ἐκ Θηβῶν δέει μὴ[56] τελεσθεῖεν ἐπὶ σφίσιν αἱ κατᾶραι[57] τοῦ πατρὸς, ἀφικόμενος δὲ ἐς Ἄργος καὶ θυγατέρα Ἀδράστου

Qui igitur cogitari potest, Deos hoc mox patefecisse, si nimirum quatuor liberi nascebantur Oedipo ex Epicasta? Verum Euryganea illos Hyperphantis filia peperit; quod is qui carmina illa condidit quae Oedipodia nominant, declarat. Onasias etiam Plataeensibus tristem demisso vultu ob filiorum dimicationem pinxit Euryganeam. (6) Polynices enimvero vivente adhuc et imperante Oedipo Thebis discessit, metuens ne diris quibus ipsos pater devoverat esset obnoxius. Quum autem Argos con-

50. ἐποίησεν (corr. in αν) Va. Deinde τέσσαρες γενεαὶ (γενs AgLb) ἐκ τῆς ἐπικάστης (ἐπὶ ʽκάστης, sic, Lb) ἐγένοντο PcAgLb; τέσσαρες γενεαὶ ἐπ' ἰοκάστης MVa; τέσσ. ἐκ τῆς ἐπ' ἰοκάστης La; τέσσ. ἐπ' ἰοκάστης Vb; τέσσ. ἐξ Ἰοκάστης edd. Nos ἐκ τῆς Ἐπικάστης reposuimus; cf. not. 46. et cap. 26. not. 13.

51. οἳ quod ante ἐξ Εὐρυγαν. habent edd., expunximus cum Vab PcAgLab (silet M) et post Εὐρυγανείας e La inseruimus δέ. Tum Εὐρυγάνειας et Εὐρυγάνειαν AXK; εὐρυγανίας VaLa (M sec. exc. nostra) et εὐρυγανίαν Va; εὐρυγανύας VbM (sec. S.) et εὐρυγανύαν VbM (sec. S; silent exc. nostra); εὐρυγαννίας et εὐρυγάννιαν Ag; εὐρυγαννῖαν La; ἐξευρυγαννας (sic) et εὐρυγαννίαν Lb. — Tum ὑπέρφατος Lb. Post ἐγεγόνεσαν signum interrogandi habet S.

52. τὰ ἔποι La. — „Οἰδιπόδειαν malle videtur Porsonus.“ B. — Mox Ὀνασίας Am. AXKFBMVa PcAgLab; ὀν ασίας (sic) Vb; Ὀνατᾶς Sylb. CS. C. O. Müller Aeginet. p. 107; idem probat G. Rathgeber in Ersch u. Gruber allg. Encyclop. III, 3. s. v. Onatas p. 412, not. 22; Ὀνάτας Palm. Ms. conf. cap. 4, not. 7. Deinceps Πλαταιεῦσιν legisse videtur Am., et sic habet M supra vers. — ἔγραφεν MAg.

53. ἐπὶ δὲ τῇ Va (in hoc δὲ vel τε ambig.) MLb (ἐπὶ δὴ τῇ?).

54. πολυνίκης MVaLbAg, et Vb sup. vers. — Post περιόντος inseruimus μὲν cum BPcAg(?)Lab; om. edd. rell. MVab.

55. ὑπεξῆλθεν BPcAgLab (in La π punctulis notatur); ἐξῆλθεν edd. rell. MVab.

56. δὲ εἰ μὴ MVaLb; δὲ μὴ Vb; δὲ ...... εἰ μὴ lacuna dimidiati fere versus) La. — τελεθεῖεν, σ sup. vers., Lb.

57. ἑκάτερα MVaLab (sec. S δὲ μὴ et εἰ ἑκάτερα est in M; subest confusio); ἑκατέρα AgR, in hoc αἱ κατάραι ad marg.; αἱ κατᾶραι om. Vb; habet vero αἱ κατάραι ad marg. et sic edd. praeter B.

λαβὼν κατῆλθεν ἐς Θήβας μετάπεμπτος[58] *ὑπὸ Ἐτεο-*
κλέους μετὰ τὴν τελευτὴν Οἰδίποδος· κατελθὼν δὲ ἐς
διαφορὰν προήχθη τῷ Ἐτεοκλεῖ, καὶ οὕτω τὸ δεύτερον
ἔφυγε. δεηθεὶς δὲ Ἀδράστου δοῦναί οἱ δύναμιν τὴν κα-
τάξουσαν,[59] *τήν τε στρατιὰν ἀπόλλυσι καὶ πρὸς τὸν*
Ἐτεοκλέα αὐτὸς μονομαχεῖ κατὰ πρόκλησιν· καὶ οἱ μὲν 13
μονομαχοῦντες ἀποθνήσκουσιν, ἐς δὲ Λαοδάμαντα τὸν
Ἐτεοκλέους καθηκούσης τῆς βασιλείας Κρέων ὁ Μενοι-
κέως ἐδυνάστευεν ἐπιτροπεύων τὸν παῖδα. (7) *Ἤδη*
δὲ Λαοδάμαντος ηὐξημένου καὶ ἔχοντος τὴν ἀρχὴν
δεύτερον[60] *τότε ἄγουσιν [Ἀργεῖοι] τὴν στρατιὰν ἐπὶ*
τὰς Θήβας. ἀντεστρατοπεδευμένων[61] *δὲ καὶ τῶν Θηβαίων*
περὶ Γλίσαντα,[62] *ὡς ἐς χεῖρας συνῆλθον Αἰγιαλέα μὲν*
τὸν[63] *Ἀδράστου Λαοδάμας ἀποκτίννυσι· κρατησάντων*
δὲ τῇ μάχῃ τῶν Ἀργείων Λαοδάμας σὺν τοῖς ἐθέλουσιν
ἕπεσθαι Θηβαίων ὑπὸ τὴν ἐπιοῦσαν νύκτα ἀπεχώρησεν
ἐς Ἰλλυριούς.[64] *τὰς δὲ Θήβας ἑλόντες οἱ Ἀργεῖοι παρα-* 14

fugisset et iam filiam ei nuptum dedisset Adrastus, Eteoclis fratris accersitu post Oedipi mortem Thebas revertit. Orto vero de imperio cum fratre dissidio iterum exulavit, fretusque soceri opibus dum regnum conatur recipere exercitum quidem perdidit; congressi vero ex provocatione singulari certamine fratres ambo mutuis confecti vulneribus ceciderunt. Successit Eteocli Laodamas filius imperium regente Creonte, Menoecei filio, pueri tutore. (7) Adoleverat iam Laodamas ac penes ipsum regnum erat, quum iterum Argivi Thebas oppugnatum exercitum misere. Iis cum exercitu Thebani occurrerunt ad Glisantem, quumque ad manus ventum esset ibi Aegialeum Adrasti filium Laodamas occidit. Ab Argivis vero proelio superatus cum ea Thebanorum manu quae illum ultro secuta est, insequenti nocte fuga se in Illyrios recepit. Hostes captas

58. *μετάπεμπος* Ag. Deinde *ἔφυγεν* AgM.

59. *κατέξουσαν* MLb. Tum *στρατείαν* AVaMLb; *στρατεῖαν* Vb. — *ἀπόλλυσιν* LbAg; *ἀπόλυσι* La. — *πρόπλησιν* Lb; mox idem *ὁ μὲν οἰκέως*.

60. *δεύτεραν* Smin. (vitio typoth.); seq. *Ἀργεῖοι* om. VabMPcAgLab; *ἄγουσι* VbLabM; *στρατείαν* AVab Lb; *στρατίαν* La.

61. *ἀντεστρατοπεδευομένων* Vb. — Sq. *δὲ* om. Ag.

62. *γλίσσαντα* VaM; *γλήσσαντα* La. De nominis scriptura vid. Tz. ad Strab. IX. p. 457, et Intp. ad Stephan. Byz. s. n.

63. *με τὸν* A; *μὲν τῶν* AXVbM (at in hoc *τὸν* supr. vers.) — *ἀποκτείννυσι* AXKFCVaMLb; *ἀποκτείνεισιν* Vb; *ἀποκτίννυσιν* Ag.

64. *ἰλυριοὺς* Ag.

διδόασι Θερσάνδρῳ Πολυνείκους[65] παιδί. ὡς δὲ τοῖς σὺν Ἀγαμέμνονι ἐς Τροίαν στρατεύουσιν ἡ διαμαρτία τοῦ πλοῦ γίνεται καὶ ἡ πληγὴ περὶ Μυσίαν, ἐνταῦθα καὶ τὸν[66] Θέρσανδρον κατέλαβεν ἀποθανεῖν ὑπὸ Τηλέφου μάλιστα Ἑλλήνων ἀγαθὸν γενόμενον ἐν τῇ μάχῃ, καί οἱ
123 τὸ μνῆμα ἐς Καΐκου[67] πεδίον ἐλαύνοντί ἐστιν ἐν Ἐλαίᾳ πόλει λίθος ὁ[68] ἐν τῷ ὑπαίθρῳ τῆς ἀγορᾶς· καὶ ἐναγίζειν οἱ ἐπιχώριοί φασιν αὐτῷ. (8) Τελευτήσαντος δὲ Θερσάνδρου καὶ δεύτερα ἐπί τε Ἀλέξανδρον καὶ ἐς Ἴλιον ἀθροιζομένου[69] στόλου Πηνέλεων ἄρχοντα εἵλοντο, ὅτι οὐκ ἐν[70] ἡλικίᾳ πω Τισαμενὸς ἦν ὁ[71] Θερσάνδρου. Πηνέλεω δὲ ἀποθανόντος ὑπὸ Εὐρυπύλου τοῦ Τηλέφου Τισαμενὸν βασιλέα αἱροῦνται, Θερσάνδρου τε ὄντα καὶ Δημωνάσσης[72] τῆς Ἀμφιαράου. τῶν δὲ Ἐρινύων[73] τῶν Λαΐου καὶ Οἰδίποδος Τισαμενῷ μὲν οὐκ ἐγένετο μήνιμα,[74]

Thebas Thersandro Polynicis filio tradidere. Iam vero quum Agamemnonis copiarum pars dum ad Troianum bellum contenderet ab instituto navigationis cursu aberrasset et in Mysia cladem accepisset, fors ita tulit ut Thersander, cuius in ea pugna prae ceteris Graecis virtus enituerat, a Telepho occideretur; est vero ei monumentum erectum circa Caici campos in Elaea urbe, lapis in subdiali fori parte; quo in loco ei parentant, ut ipsi dicunt, incolae. (8) Thersandro mortuo altera iam classe contra Paridem et Troianos comparata Peneleum sibi ducem delegerunt, quod Tisamenus Thersandri filius nondum per aetatem erat imperio capessendo idoneus. Interfecto ab Eurypylo Telephi filio Peneleo, regem Tisamenum declarant, Thersandro et Demonassa Amphiarai filia genitum. Ac is quidem dirarum Laii et Oedipi expers fuit; at eas non effu-

65. *Πολυνίκους* AgLb; tum *ὥς τε τοῖς* Va.

66. *τὸν* om. Va. Mox *ἀποθανεῖν* om. VabPcMAgLab. A Musuro profectum videtur.

67. *Καΰκου* AXK; *καϊκοῦ* Lb. Tum *καιδίον* La. — *ἐλαύνοντ' ἐστὶν* Va; *ἐλαύνοντές ἐστιν* Ag; *ἐλαύνουσί τέ ἐστιν* Vb; *ἐλαύνουσίν τε ἐστὶν* La; *ἐλαύνον τὲ ἐστιν ἐν ἐλαιαπόλει* Lb. Corruptus locus videtur.

68. *ὁ* om. AXKFC.

69. *ἀθροιζόμενον* Vb.

70. *οὐκ ἐν* VabMPcAgLb; *οὐ γὰρ ἐν* edd.; *ὅτι οὐκ ἐν* La, quod recepimus.

71. *ὁ* om. Va; mox *ἀποθανόντις* La. — *αἱροῦνται* M.

72. *δημονάσσης* VbM.

73. *Ἐρινύων* BPcLa; *Ἐριννύων* edd. rell. MVabLb. De nominis scriptura vid. quae ad VIII, 25, 6. diximus; addendum tamen Lobeckium ad Soph. Aiac. p. IX. literam geminatam defendere.

74. *μνῆμα* VaPcMAgLab.

Αὐτεσίωνι δὲ τῷ Τισαμενοῦ, ὥστε καὶ παρὰ τοὺς Δωριέας μετῴκησε[75] τοῦ θεοῦ χρήσαντος. Αὐτεσίωνος δὲ ἀπελθόντος,[76] οὕτω βασιλέα εἵλοντο Δαμασίχθονα Ὀφέλτου τοῦ Πηνέλεω. τούτου δὲ ἦν τοῦ Δαμασίχθονος Πτολεμαῖος, τοῦ δὲ Ξάνθος, ὃν Ἀνδρόπομπος[77] μονομαχήσαντά οἱ δόλῳ καὶ οὐ σὺν τῷ δικαίῳ κτείνει. τὸ δὲ ἐντεῦθεν διὰ πλειόνων πολιτεύεσθαι μηδὲ ἀπ' ἀνδρὸς ἑνὸς ἠρτῆσθαι τὰ πάντα ἄμεινον ἐφαίνετο τοῖς Θηβαίοις.[78] 16

CAPUT VI.

De Thebanorum rebus bello gestis — calamitatibus quibusdam divinitus significatis.

Τῶν δέ σφισιν ἐν ἀγῶσι[1] πολέμου γενομένων εὐτυχημάτων, καὶ ὅσα[2] ἑτέρως, τοσάδε φανερώτατα ὄντα εὕρισκον. ἐκρατήθησαν[3] ὑπὸ Ἀθηναίων μάχῃ Πλαταιεῦσιν ἀμυνάντων, ὅτε σφᾶς ἐπέλαβεν[4] ὑπὲρ τῶν ὅρων πολεμῆσαι τῆς χώρας. προσέπταισαν δὲ καὶ δεύτερον Ἀθη-

git Autesion Tisameni filius, qui nempe ad Dorienses ex oraculo migrare coactus est. Eo iam profecto regem illi surrogarunt Damasichthonem nepotem Penelei, Opheltae filium. Damasichthoni Ptolemaeus filius fuit; Xanthus Ptolemaeo, quem Andropompus in singulari certamine non virtute, sed dolo perculit. Placuit in posterum Thebanis non uni amplius, sed pluribus reipubl. summam committere.

Cap. VI. Quae vero ipsis vel prospera vel secus in belli certaminibus evenerunt, haec ego maxime memoratu digna comperi. Victi ab Atheniensibus proelio sunt quum illi eo bello quod de agri finibus gerebatur, Plataeensibus opem tulissent. Alteram etiam cladem acceperunt ad Plataeam cum iisdem

75. μετῴκισε MVab; μετῴκησεν La.

76. ἀπελθόντος p. corr. ex ἀποθανόντος Va; tum δαμοσίχθονα M (sec. S); mox δαμοσίχθονος VaM.

77. ὃν Ἀνδρόπομπος edd. (praeter S) PcVabLa; οὗ ἀνδρόπομπος MLb; ὃν ὁ Ἀνδροπόμπου Palm. S; ὃν Μέλανθος Ἀνδροπόμπου Sylb.

78. Θηβαίων VaMLb.

Cap. VI. 1. ἀγῶνι Vb.

2. ὅσα e coni.; ὡς edd. codd.; nisi malis ὅσ' ἕτ.

3. ἐκρατ. δὲ ὑπὸ Vb.

4. ὑπέλαβεν VabPcAgLab; silet M; — ἀντιταξ. ἀθηναίοις La.

ναίοις ἀντιταξάμενοι περὶ Πλάταιαν,[5] *ἡνίκα δοκοῦσιν*
2 *ἑλέσθαι τὰ βασιλέως Ξέρξου πρὸ τῶν Ἑλληνικῶν. τῆς δὲ αἰτίας ταύτης δημοσίᾳ σφίσιν οὐ μέτεστιν, ὅτι ἐν ταῖς Θήβαις ὀλιγαρχία καὶ οὐχὶ ἡ πάτριος πολιτεία τηνικαῦτα ἴσχυεν. εἰ γοῦν Πεισιστράτου τυραννοῦντος ἔτι ἢ τῶν*[6] *παίδων Ἀθήνησιν ἀφίκετο ἐπὶ τὴν Ἑλλάδα ὁ βάρβαρος, οὐκ ἔστιν ὅπως οὐ καὶ Ἀθηναίους κατέλαβεν ἂν ἔγκλημα*
11. Locus corruptus, cuius alteram partem intactam reliquimus. *Ἀγγελίων τε καὶ Τεκταῖος* correxit Sylb.; „*γρ. καὶ Ἀγγελίων καὶ Τέκταιος καὶ ὅσοι γε.* ut optime Sylburg.“ Palm. Ms.; probante K, receperunt FCSB; *οἵ γε Διονύσου τὸν Ἀπόλλωνα* alii aliter restituere conati sunt *οἱ Διποίνου καὶ Σκύλλιδος μαθηταί, οἱ τὸν Ἀπ.* Sylb., quod nimium; quare *οἵ [γε] Διποίνου τὸν Ἀπόλλωνα* dedit B; at durior est vocis *μαθηταὶ* omissio et semper cum Scyllide copulatus nominatur Dipoenus; offendit praeterea *γε*; — *οἵ γε Διόνυσον καὶ τὸν Ἀπόλλωνα* C, quod primus (ex Am.) eruit F; *οἵ γε [Διονύσου] τὸν Ἀπ.* S; *Τεκταῖος (καὶ ὅσοι γε Διονύσου) τὸν Ἀπόλλ.* coni. K; *καὶ ἀγγελιῶν τέκται καὶ ὅσοι γε Διονύσου τὸν Ἀπόλλωνα* AXK; *καὶ ἀγγελιῶν τε καὶ τέτακται ὅσοιγε (τὲ* Ag) *Διονύσου τ. Ἀπ.* MPcAgLb; *καὶ ἀγγελιῶν τέτακται· καὶ ὅσοι γε διονύσου τ. ἀπόλλ.* La; *καὶ ἀγγελιῶν τε. καὶ τέτακται ὁσοιγε* (sic) *διονύσου τ. Ἀπ.* Va; *καὶ ἀγγελιῶν τέτακται· καὶ ἀθήνησι* (med. om.) Vb. Pro *Διονύσου* scribendum esse fortasse *χρυσοῦ* est suspicio C. O. Mülleri per literas nobiscum communicata. Cf. etiam Sillig. Catal. Artif. p. 47. Tum *ἐργασάμενοι* Sylb. Cor. *δηλείοις* Ag. — Conf. Plutarch. de Mus. p. 2081 (1136).

12. *καὶ Ἀθήνησι — ᾖσεν ἐς Χάριτας* om. VaM. — *πρὸς τῆς* Ag; mox *ἐσόδου* om. Vb; tum *εἰσὶν* Ag. — *πέμφως* La.

13. *ἰσμένησεν* AgLb.

14. *πέρα*, coni. KFCSBVaMPc AgLb; *πέρας* AXKVbLa.

15. *δὲ ὄν τε ἀριθμοῦ περὶ ου τὰ ἑπτὰ ὀνόματά ἐστιν* Va; *δὲ οὔτε ἀριθμοῦ περὶ οὗ ὄντε* ‸ *τὰ* *ὀνόματά ἐστιν* Vb; *ἀριθμοῦ περὶ οὗ τὲ ἑπτὰ ὀνόμ.* Lb; *οὗ τὲ* etiam M; nec haec sana videntur.

16. *ἐμνημόνευσεν* M. Tum *Χαρήτων* Vb. — Hom. Il. XIV, 267, 275. XVIII, 382. — Tum *ὑφαίστου* M; *λέγειν* Vb. — *λέγει εἶναι* La.

*Ἡφαίστου γυναῖκα εἶναι λέγει καὶ ὄνομα αὐτῇ τίθεται Χάριν· Πασιθέας[17] δὲ εἶναί φησιν ἐραστήν ** [ἐν δὲ] Ὕπνου[18] τοῖς λόγοις τὸ ἔπος ἐποίησεν·*

> *Ἦ[19] μέν μοι δώσειν Χαρίτων μίαν ὁπλοτεράων.*

τούτου δὲ εἵνεκα ὑπόνοια δή παρέστη τισὶν ὡς Χάριτας ἄρα καὶ πρεσβυτέρας οἶδεν[20] ἄλλας Ὅμηρος. Ἡσίοδος δὲ ἐν Θεογονίᾳ (προσιέσθω[21] δὲ ὅτῳ φίλον τὴν Θεογονίαν) ἐν δ' οὖν[22] τῇ ποιήσει ταύτῃ τὰς[23] Χάριτάς φησιν εἶναι Διός τε καὶ Εὐρυνόμης, καὶ σφισιν ὀνόματα Εὐφροσύνην[24] τε καὶ Ἀγλαΐαν εἶναι καὶ Θαλίαν· κατὰ ταὐτὰ δὲ ἐν ἔπεσίν ἐστι τοῖς Ὀνομακρίτου. Ἀντίμαχος δὲ

dixit, quam Gratiam proprio appellavit nomine. Pasitheae vero amatorem perhibet * *. Idem ubi Somnum loquentem inducit talem reliquit versum:

> Iuncturam mihi te Charitum unam posteriorum.
> [Pasithean]

Ex eo suspicati quidam sunt, quum iuniores Gratias nominet vetustiores illum scisse alias fuisse. Iam vero in eo poemate quo deorum Hesiodus originem explicat, (licet enim per me Hesiodo qui volet Theogoniam asserat) sed eo in libro Gratias Iovis et Eurynomes filias Hesiodus esse dixit, et nomina protulit Euphrosynen, Aglaian et Thaliam. Eademque quoque nomina suis versibus mandavit Onomacritus. Antimachus ne-

17. *Χάρι . .* (correctura) *πᾶσι θέας* Va; *πᾶσι. θέας* LbM; tum *φασὶν* LbVab (in Vb *η* super *α*); *φασιν* MAg.

18. Post *ἐραστήν* excidisse *Ὕπνου* viderunt Hartung, Sylb. F, recepit B; quum offendat *δὲ* sequens, quod in *γὰρ* mutat Buttmann, asterisco hiatum indicavit S. Nobis quidem persuasum est librarium a *Ὕπνου* ad *Ὕπνου* (in Va *ōυ* est ambiguum et *Ὑ* sine accentu) aberrasse et *ἐν δὲ*, quod om. VaMPcAgLb, ab alio profectum esse librario, qui impeditam orationem hoc modo expedire sibi visus est. Quare hiatum indicavimus, *ἐν δὲ* uncis inclusimus.

19. *ἡ* MLb; tum *μοι* ABVabMPc AgLab; *ἐμοὶ* edd. rell.

20. *οἱ δὲ* AgR (ad marg. R *οἶδεν*) Lb. — *ὡς χάριτας ἄλλας καὶ πρεσβυτέρας οἶδεν ὅμηρος* La, haud inepte.

21. *προσιέστω* VaMAgLb (in hoc corr. in *σθω*). — Hesiod. Theogon. 907.

22. *ἐν δ' οὖν* BPcVaAgLab; *ἰδοὺν* M; *ἐν γοῦν* edd. rell. Vb.

23. *τὰς* om. Va. — *ἐστὶν* pro *φησιν* VaMAgLab.

24. *Εὐφροσύνη* VbLb; seq. *εἶναι* om. Va; deinde *Θαλίαν* scripsimus cum Smai. VabMAgLa; *Θάλειαν* edd. rell. Lb (in hoc *ει* corr. in *ι* videtur); mox *ταῦτα* VaLb. — *ὄνομα κριτοῦ* Lb.

οὔτε ἀριθμὸν Χαρίτων οὔτε ὄνομα[25] εἰκὼν Αἴγλης εἶναι
θυγατέρας καὶ Ἡλίου φησὶν αὐτάς. Ἑρμησιάνακτι δὲ τῷ
τὰ ἐλεγεῖα γράψαντι τοσόνδε[26] οὐ κατὰ τὴν τῶν πρότε-
ρον δόξαν ἐστὶν αὐτῷ[27] πεποιημένον ὡς ἡ Πειθὼ Χαρί-
6 των εἴη καὶ αὐτὴ μία. (2) Ὅστις δὲ ἦν ἀνθρώπων ὁ γυ-
μνὰς πρῶτος Χάριτας ἤτοι πλάσας ἢ γραφῇ μιμησάμε-
νος, οὐχ οἷόν τε ἐγένετο πυθέσθαι[28] με, ἐπεὶ τά γε ἀρ-
χαιότερα ἐχούσας ἐσθῆτα οἵ τε πλάσται[29] καὶ κατὰ ταὐτὰ
ἐποίουν οἱ ζωγράφοι, καὶ Σμυρναίοις τοῦτο[30] μὲν ἐν
τῷ ἱερῷ τῶν Νεμέσεων ὑπὲρ τῶν ἀγαλμάτων χρυσῶν[31]
Χάριτες ἀνάκεινται, τέχνη Βουπάλου,[32] τοῦτο δὲ σφισιν
ἐν τῷ ᾠδείῳ[33] Χάριτός ἐστιν εἰκών, Ἀπελλοῦ[34] γραφή,
782 Περγαμηνοῖς δὲ ὡσαύτως ἐν τῷ Ἀττάλου θαλάμῳ, Βου-
7 πάλου καὶ αὗται· καὶ πρὸς τῷ ὀνομαζομένῳ Πυθίῳ Χά-
ριτες καὶ ἐνταῦθά εἰσι[35] Πυθαγόρου γράψαντος Παρίου·
Σωκράτης τε ὁ Σωφρονίσκου πρὸ τῆς ἐς τὴν ἀκρόπολιν

que certum numerum Gratiarum, neque nomina prodidit, Aegles tantum et Solis filias esse dixit. Hermesianacti elegorum scriptori (quod nemo ante eum tradidit) Pitho (Suadela) ùna est de Gratiarum numero. (2) At qui primus Gratias vel finxerit nudas vel pingendo nudas ostenderit, nusquam comperi. Apud priscos enim homines cum vestimento eas tam a fictoribus, quam a pictoribus factas novi. Nam et apud Smyrnaeos quum in Nemesium fano supra Nemesium simulacra aurea Gratiae positae sunt, quas Bupalus fecit; tum vero in Cantorum statione (Odeum ipsi vocant) Gratiae imago Apellis opus est. Pergameni etiam in Attali thalamo et in eo templo quod Pythium nuncupant, suas habent et ipsi Gratias, quas pinxit Pythagoras Parius. Socrates ad haec Sophronisci filius

25. *ὀνόματα*, coniecturam Sylb. recep. Smin. B; fortasse *οὔτε τι ὄνομα*; seq. *εἶναι* om. Va.

26. *τόσόν δε* A; *τόσον δὲ* Lb. — *προτέρων* Lb.

27. *ἐν τῷ* Ag; mox *Πυθὼ* Vb.

28. *πείθεσθαι* VaLa (in Va ει ambig.).

29. *πλᾶσται* LabVab. Praec. *τε* om. Ag; deinde *ταῦτα* VaAgLb.

30. *τούτω* VaMAgLb.

31. *χρυσῶν* CSmai. PcAgLb; *χρυσοῦ* edd. rell. MVabLa; scribendum videtur *ἐν τῷ ἱερῷ τῶν Νεμέσεων ὑπὲρ τῶν ἀγαλμάτων τῶν χρυσῶν*.

32. *βουτάλου* VaMLb; *βουπτάλου* Vb; seq. *τοῦτο δὲ* — *Βουπάλου* om. VaMLb.

33. *ᾠδίω* Vb.

34. *ἀπόλλου* Ag.

35. *εἰσιν* Ag; mox *παρξίου* Ag; *Σαμίου* Sillig. Catal. Artif. p. 402, e Plin. 34, 8; quod tamen improbat Letronne Peint. murale p. 157.

ἐσόδου Χαρίτων εἰργάσατο ἀγάλματα[36] Ἀθηναίοις. καὶ ταῦτα μέν ἐστιν ὁμοίως ἅπαντα ἐν ἐσθῆτι·[37] οἱ δὲ ὕστερον, οὐκ οἶδα ἐφ᾽ ὅτῳ, μεταβεβλήκασι[38] τὸ σχῆμα αὐταῖς. Χάριτας γοῦν οἱ κατ᾽ ἐμὲ ἔπλασσόν τε καὶ ἔγραφον γυμνάς.

CAPUT XXXVI.

De reliquis Orchomeni regibus, Almo, Phlegya — Phlegyarum bello contra Delphos et exitio — Minya et Minyis — Orchomeno et Hyetto.

Γενομένης δὲ Ἐτεοκλεῖ τῆς τελευτῆς ἡ βασιλεία περιῆλθεν ἐς τὸ Ἄλμου[1] γένος· Ἄλμῳ δὲ αὐτῷ μὲν θυγατέρες Χρυσογένεια ἐγένετο καὶ Χρύση·[2] Χρύσης δὲ τῆς Ἄλμου καὶ Ἄρεως ἔχει φήμη γενέσθαι Φλεγύαν· καὶ τὴν ἀρχήν, τοῦ[3] Ἐτεοκλέους ἀποθανόντος ἄπαιδος, ὁ
Φλεγύας ἔσχεν οὗτος. τῇ μὲν δὴ χώρᾳ τῇ πάσῃ Φλεγυ- 2
αντίδα[4] ὄνομα εἶναι μετέθεντο ἀντὶ Ἀνδρηΐδος, πόλις δὲ

ante arcis vestibulum Gratiarum Atheniensibus signa fecit. Ea sane omnia sunt veste velata. Qua vero his posteriores ratione ita Gratiarum ornatum immutaverint, ut omnes plane nudas fecerint quibus eas vel fingendo vel pingendo exprimere curae fuit, mihi certe compertum non est.

Cap. XXXVI. Quum vivendi finem fecisset Eteocles ad Almi posteritatem regnum pervenit. Filiae Almo fuere Chrysogenea et Chryse. E Chryse fama est Phlegyan Marti genitum. In Eteoclis imperium hic ipse Phlegyas successit quum ille mares filios non reliquisset. Totius tunc regionis immutatum est nomen, ut quae Andreis prius vocabatur Phlegyan-

36. ἄγαλμα Ag.
37. αἰσθῆτι Ag.
38. μεταβεβλήκασιν A.

Cap. XXXVI. 1. Ἄλμου; de nominis scriptura v. supra cap. 34, not. 42. hoc loco et deinceps ἄλμου Lb; ἄλμου La; αὐτῷ θυγατέρες μὲν id.

2. Χρυσή et mox Χρυσῆς VaM; χρυσῆ, χρυσῆς Lb; Χρυσῆς etiam Steph. Byz. s. v. Φλεγύα. — ἄρσος Lb.

3. τοῦ recepimus e Va et distinximus post ἀρχήν; τὴν habent rell.; S. distinguit post Ἐτεοκλέους et post ἄπαιδος; F τὴν delendum censet.

4. Φλεγυαντίδα; retinuimus hanc scripturam a Sylb. propositam, a FC SB receptam; a VaPcAgLbM (φλεγυηντίδα M sec. Exc. nostra) confirmatam; Φλεγυάντιδα AXK; Φλε-

ἐγένετο[5] *ἥ τε ἐξ ἀρχῆς οἰκισθεῖσα ἡ*[6] *Ἀνδρηΐς, καὶ προσέκτισεν ὁ Φλεγύας ὁμώνυμον αὑτῷ,*[7] *τοὺς τὰ πολεμικὰ ἀρίστους Ἑλλήνων συλλέξας ἐς αὐτήν.* (2) *Καὶ ἀπέστησάν τε ἀνὰ χρόνον ἀπὸ τῶν ἄλλων Ὀρχομενίων ὑπὸ ἀνοίας καὶ τόλμης οἱ Φλεγύαι*[8] *καὶ ἦγον καὶ ἔφερον τοὺς προσοίκους· τέλος δὲ καὶ ἐπὶ τὸ ἱερὸν*[9] *συλήσοντες στρατεύουσι τὸ ἐν Δελφοῖς, ὅτε καὶ Φιλάμμων λογάσιν Ἀργείων ἐπ'*[10] *αὐτοὺς βοηθήσας αὐτός τε ἀπέθανεν ἐν*
3 *τῇ μάχῃ καὶ οἱ*[11] *τῶν Ἀργείων λογάδες. τοὺς δὲ Φλεγύας*[12] *πολέμῳ μάλιστα Ἑλλήνων χαίρειν μαρτυρεῖ μοι καὶ ἔπη*[13]*· τῶν ἐν Ἰλιάδι περὶ Ἄρεως καὶ Φόβου τοῦ Ἄρεως πεποιημένα·*

tis dicta fuerit. Fuit etiam iam tum ab initio condita urbs Andreis, cui aliam de se appellatam addidit Phlegyas, congregatis in eam bellica virtute praestantissimis quibusque e tota Graecia. (2) Abiunxerunt vero se insequentibus dein temporibus amentia et audacia impulsi a reliquis Orchomeniis Phlegyae, finitimorum bona agere et rapere aggressi; postremo arma converterunt sua ad Apollinis Delphici fanum diripiendum. Contra quos quum Philammon Delphis opem ferens lectam Argivorum manum duxisset, ipse una cum fortissimis viris pugnans cecidit. Bellicae in primis rei studia prae cunctis Graeciae populis Phlegyas fuisse consectatos testimonio mihi sunt Homeri versus, quos in Iliade fecit de Marte et Terrore Martis filio:

γυατίδα voluit Porson., quod quamvis a Vb (*φλεγυάττιδα*) et La (*φλεγυάτιδα*) comprobatum recipere tamen noluimus; genitivum *Φλεγύαντος* pro *Φλεγύου* ex Euripide producunt Schol. Apollon. Rhod. Paris. III, 62. et Bekker. Anecd. gr. pag. 1185; et nostram nominis formam fortasse ex hoc ipso loco habet Stephan. Byz. s. v. *Φλεγύα: λέγεται δὲ ἡ χώρα Φλεγυαντίς.* Conferenda est Schaeferi nota ad Schol. Apollon. Rhod. d. l. p. 224*. — Mox *μετέθετο* Sylb.

5. *τε ἐγέν.* SMVabAgLab; *τ' ἐγέν.* AXKFCPc; *δ' ἐγέν.* coni. F, recepit B; nos *δὲ ἐγέν.* scripsimus.

6. *ἣ* VbLb.

7. *αὐτῷ* MLb.

8. *Φλεγῦαι* Vb.

9. *τέλος δὲ αὐτὸ τὸ ἱερὸν* Vb, marg. R, La; tum *συλήσοντες* (ō e corr.) Va; *συλλήσαντες* Ag; *συλλήσοντες* La; *φιλάμων* id. Legendum videtur *τότε καὶ Φιλάμμων.*

10. *ἐς αὐτ.* VbLa.

11. *καὶ ἡ* Ag.

12. *Φλεγυίας* Vb; tum *πολέμῳ* B; *πολέμοις* edd. rell. VbLa; *πολέμων* AgPcMVaLb. — *ἑλλήλων* Lb.

13. *καὶ ἐπὶ τῶν* VaMAg; *καὶ ἐπὶ τῶ γ'ἐν* Lb; *ἄρεος* (bis) MLb. — Hom. Il. XIII, 301.

Τὼ μὲν[14] ἄρ' εἰς Ἐφύρους πόλεμον μετα θωρήσσεσθον,
Ἠὲ μετὰ[15] Φλεγύας μεγαλήτορας.

Ἐφύρους δὲ ἐνταῦθα, ἐμοὶ δοκεῖν,[16] τοὺς ἐν τῇ Θε- 783
σπρωτίδι ἠπείρῳ[17] λέγει. τὸ μὲν δὴ Φλεγυῶν γένος ἀνέτρεψεν[18] ἐκ βάθρων ὁ θεὸς κεραυνοῖς συνεχέσι καὶ ἰσχυροῖς σεισμοῖς, τοὺς δὲ ὑπολειπομένους νόσος ἐπιπεσοῦσα ἔφθειρε λοιμώδης, ὀλίγοι δὲ καὶ ἐς τὴν Φωκίδα διαφεύγουσιν ἐξ αὐτῶν. (3) Φλεγύᾳ δὲ οὐ γενομένων παίδων 4
ἐκδέχεται Χρύσης τὴν ἀρχήν, Χρυσογενείας[19] τε ὢν τῆς Ἄλμου[20] καὶ Ποσειδῶνος. τούτῳ δὲ υἱὸς γίνεται Χρύσῃ Μινύας καὶ ἀπ' αὐτοῦ Μινύαι καὶ νῦν ἔτι ὧν ἦρχεν ὀνομάζονται. πρόσοδοι δὲ ἐγίνοντο[21] τῷ Μινύᾳ τηλι-

Illi Ephyros ambo contra tunc arma ferebant,
Sive acreis animi Phlegyas.

Ephyros ibi (ut mihi quidem videtur) nominat qui Thesproticum Epirum incolunt; at Phlegyarum genus prope omne crebris fulminibus et telluris vehementissimis motibus deus funditus abolevit; qui reliqui fuere eos pestilentia absumsit, praeter paucos qui in Phocidem effugerunt. (3) Phlegya sine liberis extincto imperium excepit Chryses, e Chrysogenea Almi filia et Neptuno natus. Huius Chrysae filius fuit Minyas, a quo ii quibus imperavit populi hac etiam aetate Minyae nominantur. Huic tam ampla fuere vectigalia ut superiores omnes

14. τὼ μὲν Va; τὸ μὲν Vb; τῶ μὲν ἄρα σεφύρους Lb; εἰς FCSBPc Vb(?)Lab; εἰσ' AXKM; ἠσ' M sup. vers.; in Va lectio est ambigua. — πολέμου VaM. — μεταθωρήσσεσθον edd. ante S; μεταθωρήσεσθον MLb; μετεθωρύσεσθον Va; μέτα θωρήσεσθον VbLa.

15. καὶ μετὰ VaM; κημετα (sic) Lb. Frequens literarum κ et η permutatio in Pausaniae codicibus aperte docet qualis literae κ forma in illo codice fuerit, a quo descripti sunt nostri; ex eiusmodi indiciis exploratâ satis doctrinâ palaeographicâ haud improbabili argumentatione de codicis illius aetate concludere possumus; ηε in κε mutatam sponte quasi in καὶ abiit. — δὲ post Ἐφύρους om. La.

16. „Alterum e duobus infinitis verbis, δοκεῖν et λέγειν, finite ponendum, et si λέγει scribas, parentheticῶς accipiendum est ἐμοὶ δοκεῖν.“ Sylb. hoc probavimus cum Smai. B, illud FCSmin.; δοκεῖν AXKVbPcM(?)Ag; δοκεῖ Va; μοι δοκεῖν La; λέγειν AXKVbLa; om. VaMPcAgLb.

17. ἠπείρῳ SB; Ἠπείρῳ edd. rell.; Ἐφύρᾳ Cor. — φλεγύων Va Lb.

18. ἀνέστρεψεν Ag.

19. Χρυσογενίας VaMLb; Χρυσογένείας (sic) Vb; χρυσογενιαστέων τῆς Ag.

20. σάμου PcMAgLb; tum post καὶ inserunt τοῦ AXKVbLa.

21. ἐγένοντο La; μηνία Vb; deinde τηλικαῦται Am. Sylb. CSBPc

καῦται μέγεθος ὡς ὑπερβαλέσθαι[22] *τοὺς πρὸ αὐτοῦ πλούτῳ· θησαυρόν τε ἀνθρώπων ὧν ἴσμεν Μινύας πρῶ-*
5 *τος ἐς ὑποδοχὴν χρημάτων ᾠκοδομήσατο. Ἕλληνες δὲ ἄρα εἰσὶ*[23] *δεινοὶ τὰ ὑπερόρια ἐν θαύματι τίθεσθαι μείζονι ἢ τὰ οἰκεῖα, ὁπότε γε ἀνδράσιν ἐπιφανέσιν*[24] *ἐς συγγραφὴν πυραμίδας μὲν τὰς παρὰ Αἰγυπτίοις ἐπῆλθεν ἐξηγήσασθαι πρὸς τὸ*[25] *ἀκριβέστατον, θησαυρὸν δὲ τὸν Μινύου καὶ τὰ τείχη τὰ ἐν Τίρυνθι*[26] *οὐδὲ ἐπὶ βραχὺ ἤγαγον μνήμης, οὐδὲν*[27] *ὄντα ἐλάττονος θαύματος.*
6 (4) *Μινύου δὲ ἦν Ὀρχομενός· καὶ*[28] *ἐπὶ τούτου βασιλεύοντος ἥ τε πόλις Ὀρχομενὸς καὶ οἱ ἄνδρες ἐκλήθησαν Ὀρχομένιοι· διέμεινε δὲ οὐδὲν ἧσσον καὶ Μινύας ἐπονομάζεσθαι σφᾶς ἐς διάκρισιν ἀπὸ Ὀρχομενίων τῶν ἐν Ἀρκαδίᾳ. παρὰ τοῦτον*[29] *τὸν Ὀρχομενὸν βασιλεύοντα Ὕηττος ἀφίκετο ἐξ Ἄργους, φεύγων ἐπὶ τῷ Μολύρου*[30]

divitiis vicerit, primusque omnium, de quibus aliquid accepimus, Minyas aerarium ad pecuniam servandam aedificavit. At Graeci exterarum gentium res accuratius exornantes in maiori eas quam suas ipsorum miraculo posuere, quandoquidem clarissimi historiarum scriptores Aegyptiorum pyramidas accuratius et magnificentius extulerunt, quum de Minyae aerario et Tirynthis muris, operibus nihilo minore dignis admiratione, ne brevem quidem fecerint mentionem. (4) Minyae filius fuit Orchomenus. Eo regnante ei urbs Orchomenus, et populus Orchomenii appellati. Mansit tamen nihilominus Minyarum etiam cognomen, quo ab iis qui in Arcadia sunt Orchomeniis distinguerentur. Ad hunc Orchomenum regnum iam obtinentem Hyettus venit Argis, fugiens ob Molyri Arisbantis filii cae-

Ag; τηνικαῦται Lb; τηνικαῦτα edd. rell. VabMLa. — μέγεθος La ad marg.

22. ὑπερβαλέσθαι AXKFBLb; ὑπερβάλλεσθαι Smai. AgPcM, ὑπερβαλλέσθαι (sic) VabLa.

23. εἰσὶν Ag; tum δεινὰ Smai. (vit. typoth.).

24. ἐπιφανέσιν om. VaM.

25. τὸ om. VabMLab.

26. τείρυνθε Ag; τειρυνθίου δὲ Lb; mox βραχὺν MLb. — ἤγαγεν Va.

27. οὐδὲν Sylb. Cor. SBMAg; οὐδὲ edd. rell. VabPcLa; οὐδενὸς ὄντα ἐλάττονος θ. coni. F. Silent nostra et Siebelisii excerpta e M, e quo F laudat οὐδέν; silet etiam Lb, unde οὐδὲν eum habere suspicamur.

28. καὶ om. AXK; tum τοῦ pro τούτου MVa. — καὶ μινύσας Lb.

29. τοιοῦτον Va; mox Ὑηττὸς A; postea vero Ὕηττος.

30. Μολούρου Am. M sup. vers. Tum ἀρίβαντος Vb; ἀρέσβαντος La. Postea ἀρίβαντος (sic) Vb. — γαμετὴν Lb. — ὅσοι νῦν La.

φόνῳ τοῦ Ἀρίσβαντος, ὅντινα ἀπέκτεινεν ἐπὶ γυναικὶ ἑλὼν γαμετῇ· καὶ αὐτῷ τῆς χώρας ἀπένειμεν Ὀρχομενὸς ὅση νῦν περί τε Ὕηττόν ἐστι[31] τὴν κώμην καὶ ἡ ταύτῃ προσεχής. Ὑήττου δὲ ἐποιήσατο μνήμην καὶ ὁ τὰ ἔπη 7
συνθεὶς ἃς[32] μεγάλας Ἠοίας καλοῦσιν Ἕλληνες·

Ὕηττος δὲ Μόλυρον[33] Ἀρίσβαντος φίλον υἱὸν
Κτείνας ἐν μεγάροις εὐνῆς ἕνεχ᾽ ἧς[34] ἀλόχοιο,
Οἶκον ἀποπρολιπὼν φεῦγ᾽ Ἄργεος ἱπποβότοιο, 784
Ἷξεν[35] δ᾽ Ὀρχομενὸν Μινυήϊον· καί μιν ὅ γ᾽ ἥρως
Δέξατο καὶ κτεάνων μοῖραν πόρεν ὡς ἐπιεικές.

πρῶτος δὲ οὗτος ὁ Ὕηττος δίκην μοιχείας λαβὼν δῆλός 8
ἐστι· καὶ χρόνῳ ὕστερον[36] Δράκοντος Ἀθηναίοις θεσμοθετήσαντος[37] ἐκ τῶν ἐκείνου κατέστη νόμων οὓς ἔγραφεν[38] ἐπὶ τῆς ἀρχῆς, ἄλλων τε ὁπόσων ἄδειαν[39] εἶναι χρὴ, καὶ δὴ καὶ τιμωρίας μοιχοῦ. τὸ δὲ ἀξίωμα τῶν

dem, quem in uxoris adulterio deprehensum interfecerat. Ei partem agri Orchomenus concessit eam quae circa Hyettum vicum est cum tota vicinitate. Hyetti mentionem fecit is etiam qui ea carmina composuit quae sunt Eoeae magnae appellatae:

Hyettus casti temerata ob foedera lecti
Filium Arisbantis quum stravit caede Molyrum,
Herbosis longe profugus discessit ab Argis,
Orchomenumque adiit Minyeum; excepit amicis
Aedibus illum heros fortunarumque benigno
Pectore participem non abnuit esse suarum.

Satis constat primum omnium Hyettum hunc de adulterio poenam sumsisse. Multo enim post Dracon, quum leges Athenis in magistratu ferret, quibus de poena et impunitate factorum cavit, de adulteriis quoque libere poenas sumi posse promul-

31. ἐπὶ τὴν Ag; ἐστιν τὴν M.
32. συνθεῖσας μεγ. MVa; συνθήσας μεγαλαςηοίας AgLb; οἰήας La.
33. μόλουρον Am. VbAgLa et sine accentu Lb.
34. εἵνεκ᾽ ἧς (sine spiritu) Ag; tum ἀλόχου Va. — οἶκον ἄπο προλιπὼν La. — ἄρετος ἱπποβ. La.
35. ἶξον Vb; ῥίξεν PcAg; ῥίζε M (sec. S) Lb; ῥίζε MVaR; hic ἶξε ad marg. Deinde Μινύειον S; μινύηον La; tum καὶ μινογ᾽ ἥρως Lb.
36. ὕστερον καὶ δράκ. MVaPcAg Lb.
37. θεσμοθεθήσαντος A; θεσμωτεθήσαντος Ag; νομοθετήσαντος Vb.
38. ἔγραφεν habere videtur Va.
39. ἄδιαν Ag; tum τὸ δ᾽ αξ. La.

Μινυῶν[40] *ἐπὶ τοσοῦτο ἤδη προήκτο ὥστε καὶ Νηλεὺς Κρηθέως βασιλεύων Πύλου*[41] *γυναῖκα ἔσχεν ἐξ Ὀρχομενοῦ Χλῶριν Ἀμφίονος τοῦ Ἰασίου.*[42]

CAPUT XXXVII.

Almi genere exstincto, regnum Orchomeni ad Clymenum transit — dein ad Erginum — de Trophonio et Agamede narratio — Ascalapho et Ialmeno regnantibus Minyae ad Troiam tendunt — Orchomenii a Thebanis eiecti a Philippo Amyntae filio restituuntur.

Ἔδει δὲ ἄρα πανσθῆναι καὶ τὸ Ἄλμου γένος· οὐχ υπολείπεται γὰρ παῖδα Ὀρχομενὸς, καὶ οὕτως ἐς Κλύμενον τὸν[1] *Πρέσβωνος τοῦ Φρίξου περιῆλθεν ἡ ἀρχή. Κλυμένου δὲ γίνονται παῖδες,*[2] *πρεσβύτατος μὲν Ἐργῖνος,*[3] *ἐπὶ δὲ αὐτῷ Στράτιος καὶ Ἄῤῥων*[4] *καὶ Πύλεος νεώτατος δὲ Ἀζεύς.*[5] (2) *Κλύμενον μὲν ἐν τῇ ἑορτῇ τοῦ Ὀγχηστίου*[6] *Ποσειδῶνος Θηβαίων φονεύουσιν ἄνδρες ἐξ*

gavit. Eo iam Minyarum nomen dignitatis provectum fuerat, ut et Neleus Crethei filius Pyli rex, ex Orchomeno uxorem Chlorin Amphionis ex Iasio geniti filiam duxerit.

Cap. XXXVII. At evenit ut Almi etiam proles aliquando interiret. Nam quum liberos Orchomenus non suscepisset, ad Clymenum Presbonis filium, Phrixi nepotem, imperium transiit. Filios hic habuit natu maximum Erginum, minores Stratium, Arrhonem, Pyleum et postremum Azeam. (2) Clymenum ipsum, dum festi dies Onchestii Neptuni agitarentur, Thebani

40. *μινύων* VabLb. Tum *τοσουτο* BMVaPcLb; *τοσούτω* VbAg; *τοσοῦτον* edd. rell. La. — *προῖκτο* A; *προήκτω* Ag.
41. *πύλον* Vb; *πύλου βασιλεύων* La. — *ὀρχομένους* M sec. S; *ὀρχομενοῦς* MAg. — *Χλῶριν* Hartung. Sylb. Palm. Ms. FCSB; *Χλόριν* Va; *ἄοριν* M; *Ἄωριν* AXKVbPcAg Lab; *Aorin* Am. — *ἀμφίωνος* La.
42. *Ἰασίου* Hartung. Palm. Exerc. p. 431. FC (in versione tamen „Iasus") B; *Ἰάσου* S. ex Homer. Od. XI, 283 et Pherecyde (v. fragmenta ed. Sturz p. 119 sq.); *Ἰλασίου* edd. rell. Am. MVabPcAg Lab.

Cap. XXXVII. 1. *τῶν* La; *Φρύξου* Vb; *ξίφου* La.
2. *παῖδες* om. Va.
3. *Ἐργεῖνος* constanter VabMAg Lb (hic semel *ἐργίνου*).
4. *Ἄργων* esse videtur in Va. Deinde *Πύλεως* VbAg.
5. *Ἀζεύς* Camerar. Palm. Ms. CSB; *Ἀξεύς* edd. rell. VabMPcAgLab. — Hom. Il. II, 513.
6. *ἐγχηστίου* Ag. — *βηβαίων* Lb.

ἀφορμῆς μικρᾶς ἐς ἅπαν θυμοῦ προαχθέντες· Ἐργῖνος
δὲ ὁ πρεσβύτατος τῶν Κλυμένου παίδων τὴν βασιλείαν
παραλαμβάνει. δύναμιν δὲ αὐτίκα αὐτός τε καὶ οἱ ἀδελ- 2
φοὶ συλλέξαντες ἦλθον ἐπὶ τὰς Θήβας· καὶ μάχῃ μὲν
ἐκράτησαν, τὸ δὲ ἀπὸ τούτου χωροῦσιν ἐς ὁμολογίαν
Θηβαίους[7] κατὰ ἔτος ἕκαστον τελεῖν δασμὸν τοῦ Κλυ-
μένου φόνου. Ἡρακλέους δὲ ἐπιτραφέντος[8] ἐν Θήβαις,
οὕτω τοῦ δασμοῦ τε ἠλευθερώθησαν οἱ Θηβαῖοι καὶ οἱ
Μινύαι μεγάλως[9] τῷ πολέμῳ προσέπταισαν. Ἐργῖνος 3
δὲ ἅτε κεκακωμένων[10] ἐς τὸ ἔσχατον τῶν πολιτῶν πρὸς
μὲν τὸν Ἡρακλέα ἐποιήσατο[11] εἰρήνην, πλοῦτον δὲ τὸν
πρότερον καὶ εὐδαιμονίαν ἐκείνην ἀνασώσασθαι ζητῶν 785
ἠμέλησεν ἁπάντων ὁμοίως τῶν ἄλλων, ὥστε καὶ ἔλαθεν
ἄγαμος καὶ ἄπαις ἀφικόμενος ἐς γῆρας. ὡς δὲ αὐτῷ
χρήματα συνείλεκτο,[12] ἐνταῦθα ἐπεθύμησέν οἱ γενέσθαι
παῖδας·[13] ἐλθόντι δὲ ἐς Δελφοὺς καὶ ἐρομένῳ περὶ παί- 4
δων χρᾷ τάδε ἡ Πυθία·

homines ex causa admodum levi vehementi ira concitati occiderunt. Erginus patri Clymeno aetatis iure in regnum successit. Is mox cum fratribus exercitu comparato Thebas adortus proelio primum hostes fudit; icto deinde foedere pecunia se annua Thebani de Clymeni caede satisfacturos pacti sunt. Sedenim quum Hercules Thebis adolevisset, tributo liberati sunt Thebani et Minyarum opes bello magnopere accisae. Eo tempore Erginus, ut qui confectos iam prope belli calamitatibus cives suos videret, pacem quidem cum Hercule fecit, ad pristinas autem opes et felicitatem redintegrandam conversus ita prae hac una cura omnia contempsit cetera, ut senectus eum coelibem et orbum oppresserit. Magna demum congesta pecunia cupiditas eum liberos suscipiendi cepit. Quare quum Delphos ea de re consulturus venisset, huiusmodi responsum accepit:

7. Θηβαίους om. Pc.

8. ἐπιτραφέντος e coni. SB; S. tamen recipere ausus non est; ἐπιστραφέντος edd. rell. VabMPcAg Lab; mox ἐλευθερώθησαν Ag.

9. μεγάλας LbVa (ω sup. α Va); tum προσείπταισαν Vb.

10. κακωμένων Vb.

11. ἐποιήσαντο Va.

12. συνείλεκτο SBPc(?)Lab; συνήλεκτο VaAg; συνέλεκτο edd. rell. Vb; silet M; tum ἐπεθύμει δέ οἱ VaM.

13. παῖδ..ς (ob correcturam ambig.) Va. — ἐς ἀδελφοὺς Vb. — ἐρωμένω Vab.

Ἐργῖνε Κλυμένοιο[14] παῖ Πρεσβωνιάδαο,
Ὄψ'[15] ἦλθες γενεὴν διζήμενος, ἀλλ' ἔτι καὶ νῦν
Ἱστοβοῆϊ[16] γέροντι νέην ποτίβαλλε κορώνην.

(3) Λαβόντι δὲ αὐτῷ νέαν γυναῖκα[17] κατὰ τὸ μάντευμα Τροφώνιος γίνεται καὶ Ἀγαμήδης.[18] λέγεται δὲ ὁ Τροφώνιος Ἀπόλλωνος εἶναι καὶ οὐκ Ἐργίνου· καὶ ἐγώ τε πείθομαι καὶ ὅστις παρὰ Τροφώνιον ἦλθε δὴ μαντευσόμενος. τούτους φασίν, ὡς ηὐξήθησαν, γενέσθαι δεινοὺς θεοῖς τε ἱερὰ κατασκευάσασθαι καὶ βασίλεια ἀνθρώποις· καὶ γὰρ τῷ Ἀπόλλωνι τὸν ναὸν ᾠκοδόμησαν τὸν ἐν[19] Δελφοῖς καὶ Ὑριεῖ τὸν θησαυρόν. ἐποίησαν δὲ ἐνταῦθα τῶν λίθων ἕνα εἶναι σφίσιν[20] ἀφαιρεῖν κατὰ τὸ ἐκτός· καὶ οἱ μὲν[21] ἀεί τι ἀπὸ τῶν τιθεμένων ἐλάμβανον.

Ergine o Clymeni proles Presbonidae, ad aram
Exquirens sobolem venisti sero; sed et nunc
Temoni vetulo validum praetendito rostrum.

(3) Quum igitur oraculi monitu adolescentulam uxorem duxisset, Trophonius et Agamedes ex eo matrimonio nati sunt; etsi traditum est, Apollinis, non Ergini filium fuisse Trophonium; quod ego ut credam facile adducor, et facile sibi id persuasum habeat quicunque ad Trophonii oraculum accesserit. Ii quum ad virilem aetatem pervenissent, solertia in deorum templis et hominum regalibus tectis aedificandis praestiterunt. Erexerunt itaque Delphis Apollini templum et Hyrieo aerarium. In eius pariete lapidem unum ita collocarant, ut extrorsum eum, quum vellent, eductum eximerent. Quoties itaque libitum esset, clam introeuntes aliquid reposi-

14. ἔργειν ἐκ λυμένοιο Ag. Tum πρεσβηωνάδα M; πρεσβυιωνάδα Va; πρεσβειωνάδα Ag; πρεσβήων ἀοίδαο Vb; εργεινε κλυμένοιο παι πρεσβηωναδα (sic omnino) Lb, qui saepissime praesertim in nominibus propriis omittere spiritus et accentus, pluraque vocabula scriptura continua copulare solet.

15. ὄψε Va; ὀψὲ MVbAgLb.

16. εἰστοβοῆϊ VaAg et sine accentu Lb; ἰστοβοῆϊ Vb. — ποτιβάλλε Lab.

17. δὲ γυναῖκα αὐτῷ νέαν B; νέα Va; νέαν γυναῖκα αὐτῷ νέαν La.

18. Ἀγαμίδης hic et postea VbM; seq. δὲ om. AXK; tum τροφόνιος Vb.

19. ᾠκοδομήσαντο ἐν MVabPcAg Lab, unde ᾠκοδόμησαν τὸν ἐν fecerunt SB; ᾠκοδομήσαντο τὸν ἐν edd. rell.

20. ἕνα εἶναί σφισιν BPcAgLa; εἶναι ἐνᾶ (fin. lin.) αφισιν (sic) Va; εἶναι ἕνα σφίσιν rell. Tum μετὰ τὸ ἐκτ. Lb.

21. εἰ μὲν Va.

Ὑριεὺς[22] δὲ εἴχετο ἀφασίᾳ κλεῖς μὲν καὶ σημεῖα τὰ ἄλλα
ὁρῶν ἀκίνητα, τὸν δὲ ἀριθμὸν ἀεὶ τῶν χρημάτων ἐλάσ-
σονα. ἵστησιν οὖν ὑπὲρ τῶν ἀγγείων, ἐν οἷς ὅ τε ἄρ- 6
γυρος ἐνῆν καὶ ὁ χρυσός οἱ, πάγας ἤ[23] τι καὶ ἄλλο ὃ
τὸν ἐσελθόντα καὶ ἀπτόμενον τῶν χρημάτων καθέξειν
ἔμελλεν· ἐσελθόντος δὲ τοῦ Ἀγαμήδους τὸν μὲν ὁ δε-
σμὸς[24] κατεῖχε, Τροφώνιος δὲ ἀπέτεμεν αὐτοῦ τὴν κε-
φαλήν, ὅπως μὴ ἡμέρας ἐπισχούσης ἐκεῖνος γένοιτο[25] ἐν
αἰκίαις καὶ αὐτὸς μηνυθείη μετέχων τοῦ τολμήματος. 786
καὶ Τροφώνιον μὲν ἐνταῦθα ἐδέξατο ἡ γῆ διαστᾶσα ἔνθα
ἐστὶν ἐν τῷ[26] ἄλσει τῷ ἐν Λεβαδείᾳ βόθρος τε Ἀγαμή- 7
δους καλούμενος καὶ πρὸς αὐτῷ στήλη. Τὴν δὲ ἀρχὴν
τῶν Ὀρχομενίων ἔσχεν Ἀσκάλαφος καὶ Ἰάλμενος Ἄρεως[27]
εἶναι λεγόμενοι· μητρὸς δὲ Ἀστυόχης ἦσαν τῆς Ἄκτορος
τοῦ Ἀζέως[28] τοῦ Κλυμένου· καὶ ὑπὸ τούτοις ἡγεμόσι

tae pecuniae auferebant. Enimvero Hyrieum ea res vehementer sollicitum habebat, praesertim quum et claves et signa cetera incorrupta cerneret, pecuniae tamen numerum quotidie comminui animadverteret. Super vasis igitur in quibus erat reposita pecunia, laqueos disposuit, vel aliud quid eiusmodi, quo simulac pecuniam quis esset attingere conatus captus teneretur. Ingressus itaque Agamedes in vinculis haesit. Trophonius fratris caput statim praecidit, veritus nempe ne quum illuxisset per tormenta quaestione habita et ipse ab illo, quod furti fuisset socius, indicaretur. Trophonius quidem terrae haustus est hiatu eo ipso in loco, quo exstat in luco, qui est Lebadeae, fovea quae Agamedis dicitur, columna superemineute. Orchomeniorum posthaec regnum obtinuere Ascalaphus et Ialmenus, quos Marti Astyoche Actoris filia, Azei neptis, Clymeni proneptis, peperisse dicebatur. Hos ad Troiam duces

22. ὑρυὶς Vb; mox κλεισμένα καὶ idem; κεκλεισμένα καὶ La. — καὶ τὰ ἄλλα σημεῖα Va. Tum ἐλάσσονα (ἐλάττονα edd. codd. rell.) usque ad τῶν χρημάτων La habet ad marg.

23. χρυσὸς ἢ πάγας (παγὰς AXK; correxit K) ἢ Ag; ἀγγίων et χρυσὸς ἡ παγας (sine accentu) Lb; deinceps ἀγάλματος pro Ἀγαμήδους Lb; ἀγαμίδους h. l. et postea M.

24. δασμὸς MLb. — κατεῖχεν Ag.

25. γένοιτο BVab(?)PcAgLab; γένηται edd. rell.; silet M. — αἰκείαις AgLb. — μινυθείη Lb.

26. ἐστὶ τὸ La; ἐστὶ τῷ MVab PcAgLb. — ἄλγει pro ἄλσει Ag. Tum λεβαδίᾳ MVbLab; λιβαδίᾳ Ag. — ἴαλμος La.

27. ἄρεος MVaLb; mox λεγόμενος Va.

28. Ἀζέως v. supra, not. 5. — τοῦ Ἀζέως e Smai. excidit.

8 Μινύαι[29] στρατεύουσιν ἐς Τροίαν. μετέσχον Ὀρχομένιοι καὶ τοῖς Κόδρου παισὶν ἐς Ἰωνίαν[30] τοῦ στόλου. Γενομένους δὲ ἀναστάτους ὑπὸ Θηβαίων κατήγαγεν αὖθις ἐς Ὀρχομενὸν Φίλιππος ὁ Ἀμύντου· τὰ δὲ ἀπὸ τοῦ δαιμονίου σφίσιν ἐς τὸ ἀσθενέστερον ἔμελλεν ἀεὶ ῥέψειν.

CAPUT XXXVIII.

Memoranda apud Orchomenios — Minyae thesaurus — Minyae et Hesiodi sepulcra — de Actaeonis cultu — Melane et Cephisso fluviis — Orchomeniorum divitiis et urbe Aspledone.

Ὀρχομενίοις δὲ πεποίηται καὶ[1] Διονύσου, τὸ δὲ ἀρχαιότατον Χαρίτων ἐστὶν ἱερόν. τὰς μὲν δὴ πέτρας σέβουσί τε μάλιστα καὶ τῷ[2] Ἐτεοκλεῖ φασὶν αὐτὰς πεσεῖν ἐκ τοῦ οὐρανοῦ· τὰ δὲ ἀγάλματα τὰ σὺν[3] κόσμῳ πεποιημένα ἀνετέθη μὲν ἐπ' ἐμοῦ, λίθου δέ ἐστι καὶ ταῦτα.
2 (2) Ἔστι δέ σφισι καὶ κρήνη[4] θέας ἀξία· καταβαίνουσι

Orchomenii secuti sunt. Eius etiam coloniae, quam in Ioniam Codri filii deduxerunt, consortes Orchomenii fuere. Suis vero a Thebanis eiectos sedibus Orchomenum Philippus Amyntae filius reduxit. Sed eorum res adversa fortuna gravius semper afflixit.

Cap. XXXVIII. Apud Orchomenios Liberi Patris templum exstat, et (quod maxime priscum est) Gratiarum. Saxa vero quaedam praecipua colunt veneratione quae excepisse Eteoclem e coelo delapsa ferunt; nam quae expolitius fabricata sunt signa et ipsa e lapide, aetate mea dedicata fuere. (2) Fons etiam illic est insigni opere exornatus; in eum descendunt

29. μινύες VbLb.

30. ἰονίαν Ag. — γενομένου La.

Cap. XXXVIII. 1. Ante καὶ inserunt μὲν AXKF.

2. τῷ om. Va; seq. φασὶν om. VabPcAgLb; post οὐρανοῦ collocat La. De re conferendi sunt loci a Siebelisio laudati Strab. IX, p. 414 (475 Tzsch.), Schol. ad Theocrit. 16, 104. et Hesiodus ap. Schol. Pind. Ol. XIV. Ceterum Facii πέτρας pro genitivo habentis opinionem immerito adoptare nobis videtur Siebelisius.

3. τὰ σὺν e coni.; articulum om. edd. codd.

4. κρίνη La; κρήνης Va.

δὲ ἐς αὐτὴν ὕδωρ οἴσοντες.[5] θησαυρὸς δὲ ὁ Μινύου,
θαῦμα ὂν τῶν ἐν Ἑλλάδι αὐτῇ καὶ τῶν ἑτέρωθι[6] οὐδε-
νὸς ὕστερον, πεποίηται[7] τρόπον τοιόνδε· λίθου μὲν
εἴργασται, σχῆμα δὲ περιφερές ἐστιν αὐτῷ, κορυφὴ δὲ
οὐκ ἐς ἄγαν ὀξὺ ἀνηγμένη· τὸν δὲ ἀνωτάτω τῶν λίθων
φασὶν ἁρμονίαν παντὶ εἶναι τῷ οἰκοδομήματι. τάφοι δὲ
Μινύου τε καὶ Ἡσιόδου. (3) Καταδέξασθαι[8] δέ φασιν 3
οὕτω τοῦ Ἡσιόδου τὰ ὀστᾶ. νόσου καταλαμβανούσης
λοιμώδους καὶ ἀνθρώπους καὶ τὰ βοσκήματα ἀποστέλ-
λουσι[9] θεωροὺς παρὰ τὸν θεόν. τούτοις δὲ[10] ἀπο-
κρίνασθαι λέγουσι τὴν Πυθίαν, Ἡσιόδου τὰ ὀστᾶ ἐκ τῆς
Ναυπακτίας ἀγαγοῦσιν ἐς τὴν[11] Ὀρχομενίαν, ἄλλο δὲ
εἶναί σφισιν οὐδὲν ἴαμα· τότε[12] δὲ ἐπερέσθαι δεύτερα 787

qui aquatum veniunt. Minyae aerarium unum est de Graeciae miraculis, nulli omnino eorum quae uspiam alibi sint operum magnificentia secundum. Ad hunc autem modum exstructum est. Lapidei sunt omnes parietes, rotunda operis forma, non valde in acutum se attollente fastigio; supremum lapidem toti aedificio coagmentationem esse dicunt. Sepulcra visuntur Minyae et Hesiodi. (3) Hesiodi quidem ossa hoc se modo recepisse narrant. Saeviente in homines et pecudes pestilentia, missos ad oraculum consultores responsum tulisse, ad sedandam luem unicum illud fore remedium, si ex Naupactio agro in Orchomenium Hesiodi ossa deportassent; aliam sane nullam reperiri posse mali levationem. Percontatos rursus eos in qua tandem

5. ἀρύσαντες coni. C; si quid mutandum, praestat ὑδρεύσοντες; at salva est lectio vulgata; φέροντες ὕδωρ habemus v. g. X, 31, 11.

6. θαῦμα ὂν (ὃν Va) τῶν ἐν Ἑλλ. αυτῇ καὶ ἑτέρωθι CSmai. BPcAg VaLb et omisso ἐν (sec. nostra et Siebelisii Excerpta; τῶν ἐν τῇ Ἑλλ. sec. F) M; θαῦμα τῶν ἐν τῇ Ἑλλ. αὐτῇ κ. τῶν ἑτέρ. Smin.; θαῦμα τῶν ἐν τῇ Ἑλλ. ὂν κ. τῶν ἑτέρ. edd. rell. Vb; θαύματα τῶν ἐν τῇ ἑλλ. ὧν κ. τῶν ἑτέρ. La. Nos τῶν ante ἑτέρωθι retinuimus.

7. πεποίηται δὲ Vb.

8. καταδέξασθαι usque Ἡσιόδου om. Va; δὲ om. La. — οὕτω SB; οὕτως edd. rell. VbAgLab. Pro τοῦ habet τὰ Ag; τὰ ἡσιόδου ὀστᾶ La; non male; conf. exempla gemina V, 14, not. 23. VII, 21, not. 27. IX, 29, not. 10. X, 9, not. 26. X. 6, not. 25; eodem referenda videntur VII, 7, not. 30. VII, 21, not. 27. X, 25, not. 19. X, 34, not. 17. Frequens omnino apud Pausaniam articuli repetiti est usus, quare cautius hac in re est procedendum.

9. ἀποστέλλουσιν Ag.

10. δὲ om. AXKFC. — ἀποκρίνασθαι Cor. SBMVabPcAgLab; ἀποκρίνεσθαι edd. rell. — λέγουσιν M.

11. ἐς τὴν om. Ag.

12. τότε SBMVabPcAgLab; τοὺς edd. rell.

ὅπου τῆς Ναυπακτίας αὐτὰ ἐξευρήσουσι, καὶ αὖθις τὴν
4 Πυθίαν εἰπεῖν, ὡς μηνύσοι[13] κορώνη σφίσιν· οὕτω τοῖς
θεοπρόποις ἀποβᾶσιν ἐς τὴν γῆν πέτραν[14] τε οὐ πόῤῥω
τῆς ὁδοῦ καὶ τὴν ὄρνιθα ἐπὶ τῇ πέτρᾳ φασὶν ὀφθῆναι,
καὶ τοῦ Ἡσιόδου [τε] τὰ ὀστᾶ εὗρον ἐν χηραμῷ[15] τῆς
πέτρας, καὶ ἐλεγεῖα ἐπὶ τῷ μνήματι ἐπιγέγραπται·

Ἄσκρη[16] μὲν πατρὶς πολυλήιος, ἀλλὰ θανόντος
  Ὀστέα πληξίππων γῆ Μινυῶν[17] κατέχει
Ἡσιόδου, τοῦ πλεῖστον ἐν Ἑλλάδι κῦδος ὀρεῖται[18]
  Ἀνδρῶν κρινομένων ἐν βασάνῳ σοφίης.[19]

5 (4) Περὶ δὲ Ἀκταίωνος[20] λεγόμενα ἦν Ὀρχομενίοις, λυ-
μαίνεσθαι τὴν γῆν πέτραν[21] ἔχον εἴδωλον. ὡς δὲ ἐχρῶντο

Naupactii agri parte essent illa reperturi, respondisse Pythiam, locum cornicem monstraturam. Quum itaque in terram e navi exscendissent qui sciscitatum missi fuerant, non longe a via cornicem conspexisse saxo insidentem, ibique Hesiodi ossa inventa in eius saxi latebra. Hi elegi sepulcro eius inscripti sunt:

Hesiodi patria est frumenti fertilis Ascra,
  Sed bello insignes ossa tenent Minyae:
Huius in Argolicis excellit gloria terris,
  Iudicium quibus est, ingeniumque sagax.

(4) Iam vero de Actaeone vulgatum inter Orchomenios fuit, vexari agrum a larva quae saxo insideret. Ea de re consulto

13. μηνύσοι BPcAg; μηνύσει edd. rell. Lab; μινύοις VaM; μινύσι Vb.

14. πέτραν Sylb. FCSBVab(?) PcAgLab; πέραν AXK; silet M. — ὠδοῦ La; idem post Ἡσιόδου om. τε, quod delendum esse iam vidit Göttling. Hesiod. Praef. p. VII.

15. χημαρῷ M. Deinde ἐπιγέγραπται recepimus e Siebelisii correctura, probata a Göttling. d. l.; ἐπιγέγραπτο MVab; ἐπεγέγραπτο edd. et codd. rell.; hoc μνῆμα monumentum est Orchomenium.

16. ἄσκρι ἡ Ag; ἄκρη La. — πολυλάϊος MVa. — πλῆξ' ἵππων MLb; at πληξίππων marg. M. — γῇ ut solet M.

17. μινύων VabLb.

18. „ὀρεῖται non liquet in Pc." B; ὄρειται Ag; sine accentu et spiritu Lb.

19. σοφίας MVbAgLab. — Diverso ordine (3. 4. 1. 2.) hos versus habet cod. Vatic. Hesiodi ap. Göttl. p. XLIV. cum hac varietate: „Vat. πληξίππου Μινύης· Μινύης (scr. Μινύης) etiam Vat." (?) Tum πλεῖστον ἐν ἀνθρώποις κλέος ἐστίν. — ἐν βασάνοις idem.

20. ἀκταίονος VaAgLb; ἀκτήονος, αί sup. ή, M; ἀκτέονος Vb; mox ἀκταίονος MVabAgLb; et sic deinceps ἀκταίονι.

21. πέτρα PcAgLb; πέτρας RLa; πέρας Vb. Deinde εἶχον La; εἶδον Vb et R marg.; ἔχ... (ambig.) Va. Corruptela latere videtur.

ἐν Δελφοῖς, κελεύει σφίσιν ὁ θεός, ἀνευρόντας[22] εἴ τι ἦν Ἀκταίωνος λοιπόν, κρύψαι γῇ·[23] κελεύει δὲ καὶ τοῦ εἰδώλου χαλκῆν ποιησαμένους[24] εἰκόνα πρὸς τῇ[25] πέτρᾳ σιδήρῳ δῆσαι· τοῦτο καὶ αὐτὸς δεδεμένον[26] τὸ ἄγαλμα εἶδον, καὶ τῷ Ἀκταίωνι ἐναγίζουσιν ἀνὰ πᾶν ἔτος. στα- 6 δίους δὲ ἀφέστηκεν ἑπτὰ Ὀρχομενοῦ ναός τε Ἡρακλέους καὶ ἄγαλμα οὐ μέγα. (5) Ἐνταῦθα τοῦ ποταμοῦ τοῦ[27] Μέλανός εἰσιν αἱ πηγαί, καὶ ὁ Μέλας ἐς λίμνην καὶ οὗτος τὴν[28] Κηφισίδα ἐκδίδωσιν. ἐπέχει μὲν δὴ καὶ ἄλλως τῆς Ὀρχομενίας τὸ πολὺ ἡ λίμνη, χειμῶνος δὲ ὥρᾳ[29] νότου τὰ πλείω[30] πνεύσαντος ἔπεισιν ἐπὶ πλέον τῆς χώρας τὸ ὕδωρ. Θηβαῖοι δὲ τὸν ποταμὸν τὸν Κηφισόν 7 φασιν[31] ὑπὸ Ἡρακλέους ἐς τὸ πεδίον ἀποστραφῆναι τὸ Ὀρχομένιον· τέως δὲ αὐτὸν[32] ὑπὸ τὸ ὄρος ἐς θάλασσαν ἐξιέναι πρὶν ἢ τὸν Ἡρακλέα τὸ χάσμα ἐμφράξαι τὸ διὰ τοῦ ὄρους.[33] ἐπίσταται μὲν οὖν καὶ Ὅμηρος λι- 188

oraculo Delphico iussi sunt, si quas reperissent Actaeonis reliquias eas ut terra tegerent; praeterea ut larvae simulacrum ex aere factum ad saxum ferro adligarent; quod ipse adligatum vidi. Actaeoni quidem quotannis parentant. Abest ab Orchomeno stadia septem Herculis templum, in quo non magnum utique signum. (5) Sunt ibi Melanis fluvii fontes, qui et ipse in Cephisidem paludem influit. Magnam sane partem Orchomenii agri ea palus occupat, ex eaque hieme anni Austro plerumque flante latius stagnat aqua. Narrant Thebani ab Hercule Cephisum amnem in Orchomeniorum campos aversum, quum antea per montanos cuniculos in mare exiret; eos meatus occlusisse Herculem. Sed novit sane Homerus

22. ἀνευρόντος Va.

23. γῇ BVa(?)Lb; τῇ PcMAg, in quo sequitur lacuna; τῇ γῇ edd. rell. VbLa. — κελένει M.

24. ποιησάμενος Va.

25. τῇ inseruimus cum Cor. Smai.; πρὸς πέτρας La; deinde distinximus cum BLa post δῆσαι, reliqui post τοῦτο.

26. δεδεγμένον Vb; tum ἴδον Ag.

27. τοῦ adiecimus cum BPcVaVb(?) AgLab. — μήλανος Va. Post πηγαὶ Lb inserit καὶ ἄγαλμα οὐ μέγα; tum ὁ λέλας M et omisso praecedente καὶ Lb.

28. τῇ M; deinde Κηφισσίδα Vb; seq. δὴ om. Va.

29. ὥρᾳ Sylb. F. CSBLa; ὥραν AXKVabMPcAgLb; tum οὐ pro νότου PcAg; οὐ VaMLb.

30. τὰ πλείω Smai. BPcVaMAg Lb; πλείω edd. rell. VbLa; πλεῖον Cor.; mox ἄπεισιν MVaAgLb.

31. φασιν post Κηφισόν collocant BVabMPcAgLab; post ἀποστραφῆναι edd. rell.

32. αὐτὸς Ag. — χάσμα M.

33. διὰ τὸ ὄρους Va. — τὸ pro οὖν Lb.

μνην[34] ἄλλως τὴν Κηφισίδα οὖσαν[35] καὶ οὐχ ὑπὸ Ἡρακλέους πεποιημένην· καὶ ἐπὶ τῷδε εἴρηκε·

Λίμνῃ κεκλιμένος[36] Κηφισίδι.

8 (6) Ἔχει δὲ οὐδὲ εἰκότα[37] λόγον τοὺς Ὀρχομενίους μὴ καὶ τὸ χάσμα ἐξευρεῖν καὶ τοῦ Ἡρακλέους ἀναῤῥήξαντας[38] τὸ ἔργον ἀποδοῦναι τὴν διέξοδον τῷ Κηφισῷ τὴν ἀρχαίαν, ἐπεὶ[39] μηδὲ ἄχρι τῶν Τρωϊκῶν χρήμασιν ἀδυνάτως εἶχον. μαρτυρεῖ δέ μοι καὶ Ὅμηρος ἐν Ἀχιλλέως ἀποκρίσει πρὸς τοὺς παρὰ Ἀγαμέμνονος[40] πρέσβεις·

Οὐδ' ὅσ'[41] ἐς Ὀρχομενὸν ποτινίσσεται.

δῆλα δήπουθεν ὡς καὶ τότε προσιόντων[42] τοῖς Ὀρχομε-
9 νίοις χρημάτων πολλῶν. Ἀσπληδόνα[43] δὲ ἐκλιπεῖν τοὺς οἰκήτορας φασιν ὕδατος σπανίζοντας·[44] γενέσθαι δὲ τὸ

fuisse paludem Cephisidem absque Herculis opera: Paludi enim, inquit, acclivis Cephisidi. (6) Neque satis est verisimile, non fuisse Orchomenios apertis cuniculis et Herculis obice disiecto pristinum exitum flumini reddituros, quando ne Troicis quidem temporibus opes illi desiderarunt. Testis est idem Homerus eo loco quo Agamemnonis legatis respondentem Achillem facit:

Non ea quae Orchomenum portantur cuncta.

Ex quo plane colligi potest, magnam Orchomeniis tunc quoque pecuniam suppeditasse. Aspledonem quidem ob aquarum penuriam desertam tradunt; nomen vero urbi contigisse ab As-

34. λήμνην Vb; deinde Κηφισίδα SBAgPc; Κηφισιάδα edd. rell. Vb MLab; κηφιασιάδα Va. — Hom. Il. V, 709.
35. θύουσαν MPcAg et p. corr. Lb (sine accentu); θίουσαν M sec. S; „an φῦσαν?" B.
36. κεκλημένος VbAg (ι super η Vb); tum Κήφισίδα VabMAgLb; κηφισσίδι La.
37. οὐδ' ἐοικότα λέγον Vb.
38. ἀναῤῥήξαντος VaM, simplici ρ Lb; ἀνωρήξαντας Vb; ἀνορύξας La. An forte ἀνορύξαντας? — ἀρχαῖαν M.
39. ἐπὶ AgLb. — ἄχρι τῷ Vb.
40. Ἀγαμέμνονος Sylb., probat F recep. SB, confirmat La; Ἀγαμέμνονι edd. rell. VabMPcAgLb. — Hom. Il. IX, 381.
41. ὅς AVabAgLb; sequens ἐς om. Va; tum ποτίνεισθαι M; ποτινείσεται Va; ποτιννείσεται VbAg; ποτινείσεται A; ποτιννεῖσθαι, σ sup. θ, Lb.
42. προϊόντων VaLb.
43. ἀσπλήδονα et postea ἀσπλήδονος (Ἀσπλήδωνος A) Vb; sine accentu Lb. — ἐκλείπειν Lb.
44. σπανίζοντος VabPcAgLab.

ὄνομα ἀπὸ[45] Ἀσπληδόνος τῇ πόλει, τοῦτον δὲ εἶναι νύμφης τε Μιδείας[46] καὶ Ποσειδῶνος. ὁμολογεῖ δὲ καὶ ἔπη σφίσιν[47] ἃ ἐποίησε Χερσίας, ἀνὴρ Ὀρχομένιος·[48]

> Ἐκ δὲ Ποσειδάωνος[49] ἀγακλειτῆς τε Μιδείας
> Ἀσπληδὼν[50] γένεθ' υἱὸς ἀν' εὐρύχορον πτολίεθρον.

τοῦδε[51] τοῦ Χερσίου τῶν ἐπῶν οὐδεμία ἦν ἔτι κατ' ἐμὲ μνήμη, ἀλλὰ καὶ τάδε ἐπηγάγετο ὁ Κάλλιππος[52] ἐς τὸν αὐτὸν λόγον τὸν ἔχοντα ἐς Ὀρχομενίους. τούτου δὲ τοῦ Χερσίου καὶ ἐπίγραμμα οἱ Ὀρχομένιοι τὸ[53] ἐπὶ τῷ Ἡσιόδου τάφῳ μνημονεύουσι.

pledone, quem Midea Nympha Neptuno pepererit. Id confirmant versus a Chersia facti, viro Orchomenio:

> Neptunoque tridentifero insignique Midea
> Aspledon satus est, ampla spectandus in urbe.

Aetate certe mea Chersiae carmina iam vetustas aboleverat; hos tamen ipsos versus Callippus retulit in libro de Orchomeniis. Eidem sane Chersiae epigramma Orchomenii attribuunt, quod Hesiodi sepulcro inscriptum fuit.

45. ὑπὸ Va. — Hoc loco ἀσπλήδονος Lb.

46. Μηδείας VabMPcAgLb; Μιδείας edd. La.

47. ἔπη σφίσιν SB; ἔπη φησὶν VaMPcAgLb; ἔπη edd. rell., at φασὶν inserunt post χερσίας AXKVb La. Tum ἐποίησεν Vb.

48. Ὀρχομενίοις (ος super οις) Va; ὀρχομενὸς Ag.

49. Ποσειδάονος VabMAg; Ποσειδάονως A. Tum μηδείας VabM; μηδείης Ag; μιδείας Lab cum edd.

50. ἀσπληδὼν VaLb; γίνεθ' Va; γενέσθαι Vb; tum εὐρύχωρον Va AgLa et sup. vers. M.

51. τοῦδε τοῦ e coni. B; οὐδὲ τοῦ edd. rell. codd.; οὐ δὲ τοῦ La; tum χερσαίου Va; mox οὐδὲ μία Vb.

52. Κάλλιπος Va. — ἐς τὸν λόγον τὸν αὐτὸν τὸν Lb. Mox ante ἐπίγραμμα inserendum videtur τὸ; respicit enim epigramma segmento quarto commemoratum.

53. τῷ ἐπὶ Va. — De Callippo vid. cap. 29, 2.

CAPUT XXXIX.

De Lebadia, olim Midea dicta — Hercyna puella et fluvio eiusque antro — Trophonii templo ac signo aliisque memorandis — Trophonii oraculum consulendi ratione — Trophonii oraculo.

Τὰ[1] μὲν δὴ πρὸς τῶν ὀρῶν Φωκεῖς ὑπεροικοῦσιν Ὀρχομενίων, ἐν δὲ τῷ πεδίῳ Λεβάδειά[2] ἐστιν αὐτοῖς ὅμορος. αὕτη τὸ μὲν ἐξ ἀρχῆς ᾤκεῖτο ἐπὶ μετεώρου καὶ ὠνομάζετο[3] Μίδεια ἀπὸ τῆς Ἀσπληδόνος μητρός· Λεβάδου δὲ ἐξ Ἀθηνῶν ἐς αὐτὴν ἀφικομένου κατέβησάν τε ἐς τὸ χθαμαλὸν οἱ ἄνθρωποι, καὶ ἐκλήθη Λεβάδεια[4] ἡ πόλις ἀπ' αὐτοῦ. πατέρα δὲ τοῦ Λεβάδου[5] καὶ καθ' ἥν-
780 *τινα αἰτίαν ἦλθεν, οὐκ ἴσασιν ἄλλο ἢ γυναῖκα εἶναι Λε-*
2 *βάδου Λαονίκην.[6] (2) Κεκόσμηται μὲν δὴ τὰ ἄλλα σφίσιν ἡ πόλις ὁμοίως τοῖς[7] Ἑλλήνων μάλιστα εὐδαίμοσι, διείργει[8] δὲ ἀπ' αὐτῆς τὸ ἄλσος τοῦ Τροφωνίου * * *.*

Cap. XXXIX. Qua montes consurgunt Phocenses supra Orchomenios habitant, in campestri vero planitie Lebadea illis est finitima. Haec olim et ipsa in edita regionis parte habitabatur, Mideae nomine, ab Aspledonis nempe matre. Lebado vero Athenis in ea loca profecto in plana incolae descenderunt, et Lebadea a Lebado ipso nomen accepit, cuius neque pater quis fuerit norunt, neque quam ob causam illuc venerit; tantum illud sciunt, uxorem ei Laonicen fuisse. (2) Exornata urbs est operibus haud minus quam alia quaevis maxime florentium Graeciae urbium. Separat ab ea Tro-

Cap. XXXIX. 1. *τὸ μὲν* Lb. — *ὄρων* id. — *οἱ Φωκεῖς* Vb.

2. *Λεβάδεια* Sylb. SB; *Λεβαδεία* edd. rell. VabLb; *λεβαδία* MLa. conf. de nominis scriptura Tzsch. ad Strab. IX, p. 469. — *ὅμηρος* Lb.

3. *ὀνομάζετο* VaAgLa. — *Μηδεία* VabMAg. — Hic *ἀσπληδόνος* etiam Lb.

4. *Λεβάδεια* ut supra, not. 2; *Λεβαδεία* edd. ante S, VaLb; *Λεβαδία* VbMLa; in sequentibus *Λεβαδεία* constanter Vab.

5. *Λεβάδου — γυναῖκα εἶναι* om. M.

6. *Λαονίκην* CSmai. BPcMAg Lb; *Νίκην* edd. rell. VaLa; *λακονίκην* M sec. Exc. nostra; om. Vb.

7. aptius fortasse *ταῖς*; mox *εὐδαίμοσιν* Ag.

8. *διείργειν* VaMLb; *διείργει * δὲ* Smai.; nos hiatum indicavimus cum B. post *Τροφωνίου*. Excidisse *Ἕρκυνα ὁ ποταμός* vel *ὁ ποταμὸς Ἕρκυνα* suspicati sunt Goldh. C; at latius patet hiatus. — *φασὶν ἐντ.*

φασὶ δ' ἐνταῦθα Ἕρκυναν[9] ὁμοῦ Κόρῃ τῇ[10] Δήμητρος παίζουσαν καὶ ἔχουσαν χῆνα[11] ἀφεῖναι τοῦτον ἄκουσαν· ἐς δὲ ἄντρον κοῖλον ἐσπτάντος[12] καὶ ὑπὸ λίθον ἀποκρύψαντος αὐτὸν,[13] ἐσελθοῦσα ἡ Κόρη λαμβάνει τὸν ὄρνιθα ὑπὸ τῷ λίθῳ κατακείμενον· ῥυῆναί τε δὴ τὸ ὕδωρ ὅθεν ἀνείλετο ἡ Κόρη τὸν λίθον, καὶ ὀνομασθῆναι τὸν ποταμὸν ἐπὶ τούτῳ λέγουσιν Ἕρκυναν·[14] καὶ ἔστι 3
μὲν πρὸς τῇ ὄχθῃ τοῦ ποταμοῦ ναὸς Ἑρκύνης, ἐν δὲ αὐτῷ παρθένος χῆνα ἔχουσα ἐν ταῖς χερσίν· εἰσὶ δὲ ἐν[15] τῷ σπηλαίῳ τοῦ ποταμοῦ τε αἱ πηγαὶ καὶ ἀγάλματα ὀρθὰ, περιειλιγμένοι[16] δέ εἰσιν αὐτῶν τοῖς σκήπτροις δράκοντες·[17] ταῦτα εἰκάσαι μὲν ἂν τις[18] Ἀσκληπιοῦ τε εἶναι καὶ Ὑγιείας, εἶεν δ' ἂν Τροφώνιος καὶ Ἑρ-

phonii lucus **; quo loco Hercynam tradunt cum Cereris filia ludentem anserem e manibus invitam dimisisse; volitantem illum subisse cavernosum antrum ibique se sub lapide occultasse; Proserpinam subingressam, avem a fuga retraxisse; quo loco lapidem submoverat aquam erupisse; qui postea fuerit Hercyna amnis appellatus. Manet ad fluminis ripas Hercynae fanum, et signum in eo, virgo anserem manibus praeferens. Fluvii fontes intra speluncam sunt, et stantia simulacra, quorum sceptris dracones circumvoluti sunt. Coniiciat quis esse illa Aesculapii et Hygiae. Sed suspicari etiam

BPcVaAgLb; φασὶ δὲ ἐντ. SVb; φασὶν δὲ ἐντ. edd. rell.; φασὶ δ' ἐντ. La; quod probamus.

9. ἕρκυραν Vb; ἑρκύναν Va; Ἕρκυναν A; ἑκκυρανόμου Lb; ἑρκυννανόμου Ag; ὁμοῦ Κόρῃ om. Va.

10. τὴν Va; τῆς M. Haec Hercyna, cuius templum Lebadiae commemorat Livius 45, 27., Tzetza ad Lycophr. 153. teste filia fuit Trophonii (Iovis Trophonii? v. Liv. d. l.); apud Lycophronem ipsum Cereris est cognomen. Nondum satis explicitae sunt hae religiones. Nobis quidem lectio codicis Va Ἕρκυναν τὴν Δήμητρος narrationis tenori atque argumento multo accommodatior videtur quam lectio vulgata, dummodo in seqq. bis ἡ κόρη litera minuscula scribitur. Fuit fortasse in Lebadensium religione Hercyna Iovis Trophonii et Cereris filia. — παίζουσαν δὲ καὶ Va.

11. χῆναν Va; ἀφῆναι MVbAg. — ἄνδρον La.

12. ἐσπάντος Ag.

13. αὐτὸν MLb. — ἐλθοῦσα Vb. — ὑπὸ τὸν λίθον La.

14. ἕρκυραν Vb; ἕρκυνναν constanter Ag; variat Pc; ἕρκυναν plerumque La; ἕρκυνναν plerumque Lb.

15. δ' ἐν BPcLb.

16. περιειλισμένοι M; περιειλημμένοι AgVb (in Ag ι sup. η, in Vb ιγ sup. ημ); deinde δὲ .... εἰσὶν (vox quaedam litura deleta) Vb.

17. σκήπτροις αἱ πηγαὶ (πηγ ambig.) δράκοντος Va.

18. μὲν ἂν ἄν τις Va; ἂν om. Pc MAgLb; tum Ὑγιείας SBAgPc; Ὑγείας edd. rell. VabMLab.

κυνα, ἐπεὶ μηδὲ τοὺς δράκοντας Ἀσκληπιοῦ μᾶλλον ἢ[19] καὶ Τροφωνίου νομίζουσιν ἱεροὺς εἶναι. ἐπὶ δὲ τῷ ποταμῷ μνῆμά ἐστιν Ἀρκεσιλάου· Λήϊτον δὲ ἀνακομίσαι
4 τοῦ Ἀρκεσιλάου τὰ ὀστᾶ ἐκ Τροίας. (3) Τὰ δὲ ἐπιφανέστατα ἐν τῷ ἄλσει Τροφωνίου ναὸς καὶ ἄγαλμά ἐστιν, Ἀσκληπιῷ καὶ[20] τοῦτο εἰκασμένον· Πραξιτέλης δὲ ἐποίησε τὸ ἄγαλμα. ἔστι δὲ καὶ Δήμητρος ἱερὸν ἐπίκλησιν Εὐρώπης καὶ Ζεὺς Ὑέτιος ἐν ὑπαίθρῳ. ἀναβᾶσι δὲ ἐπὶ τὸ[21] μαντεῖον καὶ αὐτόθεν ἰοῦσιν ἐς τὸ πρόσω τοῦ ὄρους, Κόρης ἐστὶ καλουμένη θήρα[22] καὶ Διὸς Βασιλέως ναός· τοῦτον μὲν δὴ διὰ τὸ μέγεθος ἢ καὶ τῶν πολέμων τὸ ἀλλεπάλληλον[23] ἀφείκασιν ἡμίεργον· ἐν δὲ ἑτέρῳ ναῷ[24] Κρόνου καὶ Ἥρας καὶ Διός ἐστιν ἀγάλματα. ἔστι
5 δὲ καὶ Ἀπόλλωνος ἱερόν. (4) Κατὰ δὲ τὸ μαντεῖον τοιάδε γίνεται. ἐπειδὰν[25] ἀνδρὶ ἐς τοῦ Τροφωνίου κατιέναι δόξῃ, πρῶτα μὲν τεταγμένων ἡμερῶν δίαιταν ἐν οἰκήματι ἔχει·[26] τὸ δὲ οἴκημα Δαίμονός τε ἀγαθοῦ καὶ Τύχης

liceat esse Trophonii et Hercynae, quum non magis Aesculapio quam Trophonio dracones consecratos censeant. Prope amnem est Arcesilai monumentum. Reportasse e Troia Arcesilai ossa Leitum dicunt. (3) In luco maxime insignia sunt, Trophonii templum et signum ad Aesculapii similitudinem et hoc factum; Praxiteles illud fecit. Est ibidem Cereris cognomento Europae sacellum, et sub divo Iupiter Pluvius. Ad oraculum ascendentibus atque inde ad ulteriora montis pergentibus occurrit Proserpinae (ut vocant) Venatio et Iovis Regis templum; quod propter spatii magnitudinem, vel propter continuata bella dimidia tantum ex parte perfectum reliquerunt. In alio templo, Saturni, Iunonis et Iovis simulacra sunt. Apollinis etiam illic est fanum. (4) Quod ad oraculum pertinet observatur ritus huiusmodi. Ubi statuerit quis in Trophonii descendere, primum dierum certum numerum est ei in aedicula quadam commorandum; est illa Bono Genio

19. ἢ Vb. — ἐπεὶ δὲ τῷ La. — τῆς ἀρκεσιλάου Lb.
20. ἔστιν Ἀσκληπιοῦ. καὶ VaLa. — ὑέτειος Lb.
21. ἀναβάσει δὲ ἐ. τῷ μ. Ag; ἀναβάσει Lb; ἀναβάσι M.
22. καλουμένη θήρα Sylb. SB VaPcAgLb; καλουμένη Θήρα C; καλουμένη θῆρα M; καλουμένη θήρας AVb; καλ. Θήρας XK; καλουμένης Σωτείρας coni. K. Goldh.; καλουμένης Θήρας FLa.
23. ἀλεπάλληλον Va.
24. ναοὶ AVabMAgLab.
25. ἐπειδ' ἂν Va; tum ἐς τὸν idem.
26. ἔχειν, (ν expuncto Ag) Ag La. — Annon διαιτώμενος δὲ?

ἱερὸν ἐστιν ἀγαθῆς· διαιτώμενός τε ἐνταῦθα τά τε ἄλλα καθαρεύει[27] καὶ λουτρῶν εἴργεται θερμῶν·[28] τὸ δὲ λου- 790 τρὸν ὁ ποταμός ἐστιν ἡ Ἕρκυνα[29] καί οἱ καὶ κρέα ἄφθονά ἐστιν ἀπὸ τῶν θυσιῶν· θύει γὰρ δὴ ὁ κατιὼν αὐτῷ τε τῷ Τροφωνίῳ καὶ τοῦ Τροφωνίου τοῖς παισί, πρὸς δὲ Ἀπόλλωνί τε καὶ Κρόνῳ καὶ Διὶ ἐπίκλησιν Βασιλεῖ καὶ Ἥρᾳ τε Ἡνιόχῃ καὶ Δήμητρι[30] ἣν ἐπονομάζοντες Εὐρώπην τοῦ Τροφωνίου φασὶν εἶναι τροφόν. καθ' ἑκά- 6 στην δὲ τῶν θυσιῶν ἀνὴρ μάντις παρὼν ἐς τοῦ ἱερείου τὰ σπλάγχνα ἐνορᾷ, ἐνιδὼν δὲ προθεσπίζει[31] τῷ κατιόντι εἰ δὴ αὐτὸν εὐμενὴς ὁ Τροφώνιος καὶ ἵλεως δέξεται· τῶν μὲν δὴ ἄλλων ἱερείων τὰ σπλάγχνα οὐχ ὁμοίως δηλοῖ τοῦ Τροφωνίου τὴν γνώμην, ἐν δὲ νυκτὶ ᾗ κάτεισιν[32] ἕκαστος, ἐν ταύτῃ κριὸν θύουσιν ἐς[33] βόθρον, ἐπικαλούμενοι τὸν Ἀγαμήδην· θυμάτων δὲ τῶν πρότερον πεφηνότων αἰσίων λόγος ἐστὶν οὐδείς, εἰ μὴ[34] καὶ τοῦδε τοῦ κριοῦ τὰ σπλάγχνα τὸ αὐτὸ θέλοι[35] λέγειν· ὁμολο-

et Bonae Fortunae sacra. Illic degens et alia suscipit expiationum genera et calidis abstinet aquis; Hercyna fluvio se abluit. Carnes ei de victimis large suppeditant. Immolat enim qui huc descendit, Trophonio et filiis, Apollini praeterea, Saturno, Iovi cui Regi cognomen, Iunoni Heniochae et Cereri, quam Europen nominant ac fuisse Trophonii nutricem perhibent. Adest aruspex, qui caesarum hostiarum viscera inspectat; ex ea inspectione vaticinatur, numquid Trophonius placatus iam et propitius consultorem sit accepturus. Alia tamen exta non tam perspicue Trophonii mentem denunciant, verum ea qua quis nocte descendit, arietem mactat ad ipsam foveam, invocato Agamedis numine. Exta priora pro nihilo ducuntur etiam si maxime fuerint laeta, nisi huius quoque arietis exta idem portendant. Id ubi ita evenerit, ut extorum consentiat

27. καθερεύει M.

28. θεσμῶν M; tum τὸν δὲ Vb; τῶν δὲ λουτρῶν M; λουτρῶν etiam Lb; λουτρῷ M sec. Exc. nostra.

29. ἡ Ἑρκύνα Va; ἡ ἑρκύνα La; ἡ ἕρκυννα Lb; tum καί οἱ καὶ κρ. BVabMPcAgLab; καί οἱ κρ. edd. rell. (καὶ οἱ κρ. Smai. vit. typ.) — καὶ τοῖς τροφ. παισὶ La.

30. δήμητρος VaM.

31. ἐν ἰνδὼν δὲ προθέπροθεσπίζει (sic) Vb; mox ἵλεος M.

32. κατάεισιν Ag; κάτεισιν La et sic postea bis, tum ἐνταῦθα κριὸν RVbLa.

33. ἐς τὸ βόθρ. Vb; tum ἀγαμήδη VaMPcLb. — αἰσίων λόγ. Lb.

34. ἢν μὴ MAgLb; μὴ Va. seq. καὶ addunt CSMAgLb.

35. θέλοι BPcLbAg; θέλειν (p. corr. θέλει) Va; θέλει rell.

γούντων δὲ καὶ τούτων, τότε ἕκαστος ἤδη κάτεισιν εὔελ-
7 πις· κάτεισι δὲ οὕτω.[36] πρῶτα μὲν ἐν[37] τῇ νυκτὶ αὐ-
τὸν ἄγουσιν ἐπὶ τὸν ποταμὸν τὴν Ἕρκυναν,[38] ἀγαγόντες
δὲ ἐλαίῳ χρίουσι[39] καὶ λούουσι δύο παῖδες τῶν ἀστῶν
ἔτη[40] τρία που καὶ δέκα γεγονότες, οὓς Ἑρμᾶς ἐπονο-
μάζουσιν· οὗτοι τὸν[41] καταβαίνοντά εἰσιν οἱ λούοντες
καὶ ὁπόσα χρὴ διακονούμενοι ἅτε παῖδες. τὸ ἐντεῦθεν
ὑπὸ τῶν ἱερέων[42] οὐκ αὐτίκα ἐπὶ τὸ μαντεῖον, ἐπὶ δὲ
ὕδατος πηγὰς ἄγεται·[43] αἱ δὲ ἐγγύτατά εἰσιν ἀλλήλων.
8 ἐνταῦθα δὴ[44] χρὴ πιεῖν αὐτὸν Λήθης τε ὕδωρ καλού-
μενον, ἵνα λήθη γένηταί οἱ πάντων ἃ τέως[45] ἐφρόντιζε, καὶ
ἐπὶ τῷδε[46] ἄλλο αὖθις ὕδωρ πίνει[47] Μνημοσύνης, ἀπὸ
τούτου τε[48] μνημονεύει τὰ ὀφθέντα οἱ καταβάντι. θεα-
701 σάμενος δὲ ἄγαλμα ὃ ποιῆσαι Δαίδαλόν[49] φασιν, (ὑπὸ

significatio, bona cum spe descendit consultor; atque hoc maxime modo initiatus hocque ritu descendit. Deducunt sacrificuli eum noctu ad Hercynam fluvium; ibi hominem oleo perungunt et abluunt pueri duo ex oppidanorum liberis annos ferme tredecim nati; Hermas (Mercurios) illos nuncupant. Hi sunt qui descendentem abluunt, quique ministrant quae sunt opus omnia, utpote ministri. Hinc non statim ad oraculum a sacrificulis, sed prius ad aquae fontes ducitur; sunt vero duo inter se proximi. Bibenda illic est Lethes quae dicitur aqua, quo cunctorum ei, quae antea illi erant curae, oblivio contingat; Mnemosynes deinde (Memoriae) aquas potat, ut quae intra ea penetralia viderit omnia memoria contineat. Iam simulacrum, quod fecisse Daedalum autumant, contem-

36. οὕτως Va.
37. ἐν om. AXK.
38. τὴν Ἑρκύναν A; τὸν Ἑρκύναν Vab; τὴν ἑρμῆναν La; τ. ἑρκύνναν Lb.
39. χρίουσιν Ag; tum καὶ καλοῦσι VaM; καὶ λύουσι Ag.
40. ἔπη Vb; mox Ἑρμὰς VabLb; οὓς om. Ag.
41. τὸν καταβαίνοντα; articulum adiecimus cum VabAgLab; mox λύοντες Vb.
42. ἱερῶν PcAgLb; ὑπὸ τὸ μαντ. La.
43. ἄγεται om. MPcAgLb.
44. δὲ Ag; ποιεῖν Lb; λίθης La; idemque mox λίθη.
45. ἅτε ὡς VbAgLb.
46. τόδε VabMAgLab.
47. πίνει e coni.; „potat“ Am.; in πίνειν consentiunt edd. MVab PcAgLab.
